On the Composition of Drugs by Places: Book 8 by Galen of Pergamon

13.116 *ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ ΒΙΒΛΙΟΝ Θ.*

Ὅπερ ἀεὶ λέγω καὶ νῦν ἐρῶ, πεπεισμένος ὅτι χαλεπώτατόν ἐστι μεταστῆναι πρὸς τὴν ἀλήθειαν τοὺς φθάσαντας αἱρέσει δουλεύειν. ὅσοι δὲ συνετοί τε ἅμα καὶ ἀληθείας ὄντως φίλοι, τούτους ἐλπίζω φυλάξειν τὰ παρὰ τῆς φύσεως ἡμῖν δοθέντα κριτήρια τῶν κατὰ τὸν βίον πράξεων, ἐμπειρίαν καὶ λόγον, ἐπ᾽ ἐνίων μὲν ἴσον ἑκάτερον συντελοῦν εἰς τὴν
13.117 τέχνην, ἐπ᾽ ἐνίων δὲ πλέον θατέρου θάτερον, ἀεὶ μέντοι πρὸς τὸ τέλεον ἑκατέρου δεόμενον, οὕτω ποιήσομαι τὸν λόγον. αἱ γάρ τοι ψευδεῖς δόξαι, προκαταλαμβάνουσαι τὰς ψυχὰς τῶν ἀνθρώπων, οὐ μόνον κωφοὺς, ἀλλὰ καὶ τυφλοὺς ἐργάζονται τῶν τοῖς ἄλλοις ἐναργῶς ὁρωμένων. ὅπερ οὐχ ἥκιστα καὶ περὶ τῶν κατὰ τὸ στόμα τῆς κοιλίας παθῶν ἐστι, καὶ μάλισθ᾽ ὅταν φλεγμαίνῃ. δέονται γὰρ αὗται καὶ αἱ τοῦ ἥπατος φλεγμοναὶ τῆς τῶν στυφόντων παραπλοκῆς. ἐὰν γὰρ ὑπὸ τῆς χαλαστικῆς ἀγωγῆς, ἀμίκτου τῆς τονωτικῆς δυνάμεως γενομένης, θεραπεύωνται, κίνδυνον ἐπάγονται περὶ τῆς ζωῆς αὐτῆς, καὶ τοῦτο πάντων μὲν τῶν ἐμπειρικῶν ἰατρῶν ὑπὸ τῆς πείρας δεδιδαγμένων, πάντων δὲ τῶν δογματικῶν ἐπὶ τῶν ἔργων τῆς τέχνης φυλαττόντων, οὐκ ὀλίγοι τῶν νῦν μεθοδικῶν, οὐ γὰρ δὴ πάντες γε, μυρίοις μὲν αὐτοὶ στομαχικοῖς συγκοπῆς αἴτιοι γεγόνασιν, ἅπαντας δὲ τοὺς ἡπατικοὺς ἀναιροῦσιν· οὐδένα γὰρ εἶδον ἐγὼ σωθέντα τῶν εἰς τοιοῦτον ἰατρὸν ἐμπεσόντων. τινὲς δὲ αὐτῶν ὀλίγοι μὲν
13.118 καταντλοῦσιν ἐλαίῳ, κόμην ἐναποξεννύντες ἀψινθίου καὶ ναρδίνῳ μύρῳ βρέξαντες, ἔριον ἐπιδέουσιν. ἔνιοι δὲ καὶ μαστίχης Χίας μιγνύουσιν ἢ ἀλόης, ἢ μήλινον ἀντὶ νάρδου παραλαμβάνουσιν. ἐπὶ δὲ τῶν πλουσίων γυναικῶν καὶ τὸ καλούμενον ὑπ᾽ αὐτῶν φουλίατον καὶ σπικάτον προσφέρουσι, καὶ ταῦτα ποιοῦντες οἴονται τὴν χαλαστικὴν ἀγωγὴν φυλάττειν, τοσοῦτον αὐτοῖς παρίεστιν ἐμπειρίας φαρμάκων δυνάμεως. εὐξαίμην ἂν πάντας οὕτως ἀμαθεῖς εἶναι μᾶλλον ἢ γινώσκοντας τὰ στύφοντα φυλάττεσθαι τὴν χρῆσιν αὐτῶν. ὅσα μὲν οὖν ἐν ἐπιβροχαῖς τε καὶ καταπλάσμασι τῶν στυφόντων μίγνυται τοῖς ἧπαρ ἢ στόμα γαστρὸς

ἀλγοῦσιν, ὃ δὴ καὶ στόμαχον καλοῦσιν, οὐ τοῦ παρόντος λόγου διελθεῖν· ὅσα δὲ ἐν φαρμάκοις ἐμπλαστοῖς καὶ κηρωτοειδέσιν ἔξωθεν ἐπιτιθεμένοις, ὅσα τε ἐν τοῖς καταπινομένοις ἐστὶ χρήσιμα, ταῦτα δηλώσω, τὰ τῶν φλεγμαινόντων πρῶτα γράψας, ἐπειδὴ καὶ μάλιστα κινδυνεύουσιν ἐπ᾽ αὐτοῖς οἱ κάμνοντες. κηρωτὴ μὲν οὖν, ᾗ συνεχῶς
13.119 χρῶμαι, δι᾽ ἀλόης καὶ μαστίχης καὶ κηροῦ Ποντικοῦ τοῦ πικροῦ καὶ ναρδίνου μύρου. συντίθεται δὲ χειμῶνος μὲν εἰς ‹ η′. τοῦ κηροῦ γο α′. μετρικῆς Ῥωμαϊκῆς ἐμβαλλομένης τοῦ ναρδίνου μύρου, θέρους δὲ εἰς ζ′. κατὰ τὴν ἀναλογίαν τοῦ μύρου. κάλλιστον δὲ εἶναι χρὴ τὸ μύρον, ὁποῖον ἔμπροσθεν μὲν ἐν Λαοδικείᾳ τῆς Ἀσίας ἐσκευάζετο μόνῃ, νυνὶ δὲ καὶ κατὰ πολλὰς ἄλλας Ἀσιανὰς πόλεις ὁμοίως συντίθεται. κηρὸς δὲ, εἰ μὴ Ποντικὸς ὁ πικρὸς εὐποροῖτό σοι, τὸν γοῦν ἄλλον Ποντικὸν ἔμβαλλε, κᾀκείνου μὴ παρόντος, τὸν καλούμενον Τυρρηνικόν. ἂν δὲ μηδ᾽ οὗτος παρῇ, τῶν ἄλλων τινὰ τῶν εὐωδῶν καὶ λιπαρῶν. εἰ δὲ μηδὲ τοιοῦτον ἔχοις, τὸν εὐπορηθέντα σοι κηρὸν πλύνας ἔμβαλλε· τηκέσθω δὲ ἐν ἀγγείῳ διπλῷ, κᾆπειτα ψυχθεῖσαν τὴν κηρωτὴν ξύων μίγνυε λελειωμένοις ἀκριβῶς τῇ τε ἀλόῃ καὶ τῇ μαστίχῃ. ἔστω δὲ ἑκατέρου ‹ α′. καί ποτε καὶ πλεῖον, καὶ μὴ ὥστε ὑπερβάλλειν μίαν τε καὶ ἡμίσειαν. εἰ δὲ καὶ πλέονος δέοιτο στύψεως, ἀτονίας οὔσης, ὡς μηδὲ τῆς τροφῆς κρατεῖν, προσμιγνύσθω καὶ ὀμφακίου τὸ ἴσον, ὥστε τῶν τριῶν ἑκάστου
13.120 δραχμὴν εἶναι μίαν, τῆς ἀλόης λέγω καὶ τῆς μαστίχης μίαν καὶ τρίτην τοῦ ὀμφακίου. μιγνύσθω δὲ ἐν τῇ σκευασίᾳ τῆς κηρωτῆς πρῶτον μὲν ὀμφάκιον, εἶθ᾽ οὕτω τὰ ἄλλα τούτοις ἑνούσθω. μίγνυμι δ᾽ ὥσπερ ὀμφάκιον, οὕτω καὶ ἀψινθίου χυλόν. ἔστι δ᾽ ὅτε καὶ ἄμφω καὶ τρίτης ἐπ᾽ αὐτοῖς τῆς ὑποκυστίδος καὶ τετάρτης οἰνάνθης, οὕτω δ᾽ ὀνομάζω τὸ τῶν ἀγρίων ἀμπέλων ἄνθος ἢ ἐκβλάστημα σὺν τοῖς ἄνθεσιν, ἐξ οὗ ταῖς ἡμέραις ἡ σταφυλὴ γίνεται. καὶ μέντοι καὶ ῥοῦ χυλὸν οὐκ ὀλιγάκις ἔμιξα, καὶ παραύξειν δὲ χρὴ τῆς ναρδίνης κηρωτῆς τὸ πλῆθος, ἀνάλογον τῷ τῶν ἄλλων φαρμάκων ἀριθμῷ, ὥστε ἂν τέσσαρες ἐκ τῶν ἄλλων ἀθροίζωνται δραχμαὶ, τέσσαρας γο εἶναι τῆς ναρδίνης κηρωτῆς, δύο μὲν τοῦ κηροῦ, δύο δὲ τῆς νάρδου, τουτέστιν ἑκκαίδεκα δραχμὰς ἑκατέρου. χρονιζούσης δὲ τῆς φλεγμονῆς καὶ σκληρυνομένης ἤδη, ποικιλώτερα φάρμακα προσφέρειν χρὴ καὶ τῶν ἀρωμάτων ἔχοντά τι καὶ τῶν

μαλακτικῶν τε καὶ διαφορητικῶν φαρμάκων, ὁποῖόν ἐστι καὶ τὸ διὰ τοῦ
13.121 μελιλώτου σκευαζόμενον. ἔστι δὲ ἡ σύνθεσις αὐτοῦ πολυειδεστέρα, διὰ τὸ πᾶσι τοῖς καθ' ὑποχόνδριον φλεγμαίνουσιν ἁρμόττειν, ὑπαλλαττόμενον οὐ μεγάλαις διαφοραῖς, ὥστε τὴν μέν τινα σκευασίαν αὐτοῦ τοῖς περὶ ἧπαρ εἶναι χρησιμωτέραν, τὴν δέ τινα τοῖς περὶ τὸν στόμαχον ἢ κοιλίαν ἢ σπλῆνα ἤ τινα τῶν ἐνταῦθα μυῶν, ἃ κοινῇ γραφῇ περιείληπται πάντα κατὰ τὰς τῶν μαλαγμάτων συνθέσεις. ἐν δὲ τῷ παρόντι τὰ γεγραμμένα τοῖς πρὸς ἐμοῦ πρὸς ἁπάσας τὰς περὶ τὸν στόμαχον διαθέσεις, οὐ διὰ τῆς ἔξωθεν ἐπιθέσεως τῶν φαρμάκων μόνον, ἀλλὰ καὶ διὰ πόσεως ὠφελοῦντα γραφήσεται πάντα. τινὰ δὲ αὐτῶν ἐστι κοινὰ καὶ τοῖς κατὰ τὴν γαστέρα πάθεσιν.

Εἴρηται πολλάκις ὡς τὸ τῆς γαστρὸς στόμα καλεῖν ἔθος ἐστὶ τοῖς ἰατροῖς ὥσπερ καρδίαν, οὕτω καὶ στόμαχον. ἀλλὰ πάλαι μὲν ἦν συνηθέστερον τὸ τῆς καρδίας ὄνομα, νυνὶ δὲ ἀπ' ἐκείνου μὲν ἔτι διαμένει τὸ καρδιώσσειν καὶ ἡ καρδιαλγία, τὸ δὲ μόριον αὐτὸ στόμαχον ὀνομάζουσιν ὁμωνύμως τῷ καταφέροντι τὴν τροφὴν ἐκ τοῦ στόματος εἰς αὐτήν. γεγράφασιν οὖν
13.122 οἱ πρὸ ἡμῶν φάρμακα πρὸς τὰς ἐν αὐτῷ διαθέσεις, ὥσπερ τὰς ἄλλας, οὕτω καὶ τὰς ὀνομαζομένας αὐτοῖς ἀνατροπάς· ἐοίκασι δ' οὕτω καλεῖν τάς τε ἀνορεξίας καὶ τὰς ναυτιώδεις διαθέσεις, ἐφ' αἷς ἐνίοτε μὲν συμβαίνουσιν ἔμετοι, γίνονται δὲ καὶ δήξεις ἐν αὐτῷ τινες, ὥσπερ βουλιμιώδεις τε καὶ ἀσώδεις διαθέσεις, ἐφ' ὧν ἁπασῶν κοινὴ μέν τις ἡ τῶν στυφόντων φαρμάκων εὕρηται χρῆσις. ἐπιμέμικται δ' αὐτῶν τοῖς πλείστοις τὰ θερμαίνοντα καὶ ξηραίνοντα. γίνονται δὲ καὶ αἱ ἄλλαι διαθέσεις σπανιώτεραι τῶν ὑγραινόντων ἢ ψυχόντων ἢ ἀμφοτέρων ἅμα δεόμεναι φαρμάκων. τοῖς δὲ ἐκ πείρας ἄνευ λογικῆς μεθόδου τὰ βοηθήματα εὑρίσκουσιν, εἰκότως τὰ πολλάκις ὠφελήσαντα, μνημονεύεταί τε καὶ εἰς χρῆσιν ἄγεται. τῶν γὰρ πλειστάκις ὡσαύτως ἑωραμένων τήρησίν τε καὶ μνήμην εἶναί φασι τὴν ἑαυτῶν ἐμπειρίαν. ὥσπερ δὲ ἐν τῷ στόματι τῆς κοιλίας, οὕτω καὶ κατ' αὐτὴν ὅλην ἕκαστόν τε τῶν ἐντέρων καὶ συνελόντι φάναι κατὰ πᾶν μόριον τοῦ σώματος αἱ
13.123 αὐταὶ δυσκρασίαι γινόμεναι τὰς ἐνεργείας τῶν ὁμοιομερῶν βλάπτουσιν, ἃς εἰ μή τις πεισθείη τὰ νοσήματα αὐτῶν, οὐδὲ ἂν ἀσκήσειε τὴν διάγνωσιν. ἀγνοήσας δὲ αὐτὴν οὐδὲ τὴν θεραπείαν εὑρήσει. ἔχουσι δ'

οὐκ ὀλίγον στοχασμὸν αἱ διαγνώσεις τῶν ἐν τῷ βάθει τοῦ σώματος συνισταμένων διαθέσεων, διὸ καὶ χρησιμώτατόν ἐστι τῆς ἰατρικῆς τέχνης μόριον τὸ διαγνωστικὸν τῶν τοιούτων διαθέσεων, ἃς οὐδ' ὅτι πρῶταί τε καὶ μέγισταί εἰσι γινώσκουσιν οἱ πολλοὶ τῶν ἰατρῶν, ὥστε εἰκότως οὔτε διάγνωσιν αὐτῶν οὔτε θεραπείαν ἐζήτησαν. ἀναγκάζονται τοίνυν, εἰ καὶ δογματικοὶ τύχοιεν ὄντες, τὰς λογικὰς μεθόδους ἐπὶ τὴν ἐμπειρίαν ἀφικνεῖσθαι μόνην, ὥστε θαυμάζειν, ὅταν ἄνευ πυρετοῦ καὶ φλεγμονῆς ἀποστήματός τε καὶ ἑλκώσεως ἀσθενῶς τινος πέπτοντος ἢ μηδ' ὅλως πέπτοντος ἐπαγγειλάμενοι θεραπείαν εὑρεῖν ζητῶσιν εἰ τῇ τρίψει τῶν σιτίων ἡ πέψις γίνεται, κἄπειτα ὡς μέγιστον τοῦτο εὑρηκότες εὔτριπτα διδόασιν αὐτὰ τὰ ἐδέσματα, μηδὲ τὸ προχειρότατον ἐννοοῦντες, ὃ καὶ τῶν ἰδιωτῶν ἰατρικῆς, ἄλλως δὲ συνετῶν ὄντων ἀνδρῶν, ἤρετό μέ τις
13.124 ὅπως χρήσιμόν ἐστι τὸ γνῶναι τῇ τρίψει τὴν πέψιν γίνεσθαι πρὸς τὸ τὴν διάθεσιν ἐξιάσασθαι τῆς γαστρὸς, καθ' ἣν ἀτονεῖ πέπτειν τὰ σιτία, πρὸς τῷ μηδὲ θεραπείαν εἶναι τὴν τῶν εὐτρίπτων προσφορὰν, ἀλλὰ μόνον ἔκκλισιν τῆς βλάβης, ὥσπερ καὶ τὴν ὀλιγοσιτίαν τε καὶ ἀσιτίαν. ὥσπερ γὰρ ὁ ἀσιτήσας οὐκ ἀπεπτεῖ μὲν, οὐ μὴν ἐθεραπεύθη τὴν διάθεσιν, οὕτως οὐδ' ὁ τὰ μηδ' ὅλως δεόμενα τρίψεως προσαράμενος, ὁποῖόν ἐστι τὸ γάλα καὶ ὁ τῆς πτισάνης χυλὸς καὶ τὰ διὰ τοῦ χόνδρου ῥοφήματα. ταῦτα μὲν οὖν ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν αὐτάρκως λέλεκται, καὶ δῆλον ὅτι τοῖς ἐν ἐκείνοις γεγυμνασμένοις ἡ νῦν ἐνεστῶσα διδασκαλία χρήσιμος ὑπάρχει. καθάπερ δὲ ἐπὶ τῶν ἄλλων, ὡς ἔμπροσθεν εἶπον, ἀναμιμνήσκων ἕκαστα τῶν ἐν ἐκείνῃ μοι προδεδειγμένων κεφαλαίων ἐπὶ τὴν περὶ τῶν φαρμάκων σύνθεσιν ἠρχόμην, οὕτω καὶ νῦν ποιήσω.

Δυσκρασιῶν οὐσῶν ὀκτὼ καθ' ἕκαστον τῶν μορίων, καὶ τούτων ἁπασῶν
13.125 γινομένων ἢ κατὰ ψιλὰς καὶ μόνας τὰς ποιότητας, ἢ καὶ μετά τινος χυμοῦ, τὴν μὲν κατὰ ξηρότητα δυσκρασίαν ὑγραίνειν χρὴ, τὴν δὲ καθ' ὑγρότητα ξηραίνειν, οὕτω δὲ καὶ τὴν κατὰ θερμότητα ψύχειν, τὴν δὲ κατὰ ψύξιν θερμαίνειν χρή. ὁμοίως δὲ καὶ τὰς συνθέτους δυσκρασίας ἤτοι θερμαίνειν καὶ ξηραίνειν ἢ ὑγραίνειν καὶ θερμαίνειν ἢ ψύχειν καὶ ὑγραίνειν ἢ ξηραίνειν καὶ ψύχειν. ἐπεὶ δὲ, ὡς ἔφην, αἱ πλεῖσται δυσκρασίαι τοῖς ἀνθρώποις ἐκ περιουσίας ὑγρῶν μᾶλλον ἢ ἐνδείας

γίνονται, τὰ ξηραίνοντα φάρμακα τοὺς πολλοὺς ὀνίνησι μᾶλλον. ἐπὶ δὲ τῶν ξηραινόντων τὰ μὲν στύφει, συνάγοντα καὶ στύφοντα τὴν τῶν ὁμιλούντων οὐσίαν, τὰ δὲ διαφοροῦντα, κᾀν τούτῳ διαλύοντα τὴν οὐσίαν αὐτῶν, διὰ τοῦτο πλείους εἰσὶν οἱ τῶν στυφόντων δεόμενοι. ἀλλ᾽ ἐὰν μετὰ ψύξεως ἡ ὑγρὰ δυσκρασία γένηται, βλάπτονται διὰ τῶν στυφόντων μόνων θεραπευόμενοι ψυχρῶν ὄντων ταῖς δυνάμεσιν. εἰκότως οὖν τὰ πλεῖστα τῶν διὰ πείρας εὑρημένων φαρμάκων ἐκ μικτῆς ὕλης σύγκειται, στυφούσης τε καὶ θερμαινούσης. γνωρίσεις δὲ αὐτῶν τὴν
13.126 διαφορὰν τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἔχων τὴν μνήμην. εἴρηται γάρ μοι πολλάκις ἤδη μηδένα δύνασθαι λογικῶς τε καὶ κατὰ μέθοδον τοῖς ἐν τῇδε τῇ πραγματείᾳ γεγραμμένοις χρήσασθαι χωρὶς τοῦ μεμνῆσθαι τῶν εἰρημένων ἐν ταῖς πρὸ ταύτης δύο πραγματείαις, τῆς τε τῶν ἁπλῶν φαρμάκων δυνάμεως καὶ τῆς θεραπευτικῆς μεθόδου. τινὲς μὲν γὰρ ἄνευ διορισμοῦ τινος ἔγραψαν φάρμακα πρὸς τὰς τοιαύτας διαθέσεις στομάχου τε καὶ γαστρὸς, ἔνιοι δὲ ἐφήψαντο διορισμῶν τινων ἀπὸ συμπτωμάτων ἅπασι φαινομένων. ὅπως οὖν καὶ ὑμεῖς εἰδῆτε γνωρίζειν ἑκάστου τῶν διὰ πείρας εὐδοκιμησάντων φαρμάκων τὰς δυνάμεις, εἰ καὶ μὴ προσγεγραμμένας εὑρίσκοιτε τὰς διαφορὰς τῶν διαθέσεων ἐφ᾽ ὧν ἁρμόττουσι, παραγράψω πρώτας μὲν τὰς ὑπ᾽ Ἀνδρομάχου γεγραμμένας, εἶτα τὰς ὑπ᾽ Ἀσκληπιάδου καὶ μετὰ ταύτας, ἐὰν δόξῃ, καὶ ἄλλας τινάς.

Αἱ ὑπ᾽ Ἀνδρομάχου γεγραμμέναι στομαχικαὶ δυνάμεις. Προγράψας Ἀνδρόμαχος, στομαχικαὶ, μετὰ τὴν προγραφὴν τήνδε οὕτως ἤρξατο. πρὸς
13.127 στομαχικοὺς ἱερὰ, ᾗ χρῶμαι, κᾆπειθ᾽ ἑξῆς ἔγραψε τὴν ὅλην αὐτῆς σύνθεσιν, ὡδί πως ἔχουσαν. ϗ σχοίνου ἄνθους, ξυλοβαλσάμου, μαστίχης, κρόκου, νάρδου Ἰνδικῆς, ἀσάρου, κινναμώμου ἀνὰ ‹ στ΄. ἀλόης πεπλυμένης ‹ ρ΄. ὁμοῦ λεάνας ἀποτίθεσο, δίδου νήστει κοχλιάρια β΄. οἱ δὲ ἓν, μεθ᾽ ὕδατος ψυχροῦ κυάθων δ΄. ἢ θερμοῦ. ταῦτα μὲν οὖν ὁ Ἀνδρόμαχος ἔγραψεν, οὔτε τίνας ὀνομάζει στομαχικοὺς δηλώσας οὔτε εἰ πᾶσιν αὐτοῖς ἁρμόττει τὸ φάρμακον οὔτ᾽ εἰ πλείοσιν. ἐμοὶ τοίνυν ἀναγκαῖον εἰπεῖν, ἐπειδὴ τῶν λεγομένων στομαχικῶν ἔνιοι μὲν ὑπὸ τῆς εἰρημένης ἀρτίως ἱερᾶς ὀνίνανται μεγάλως, ἔνιοι δὲ βλάπτονται. οἱ μὲν γὰρ πολλοὶ τῶν ἀνθρώπων τούς τε ἀνορέκτους οὕτω καλοῦσι καὶ ὅσοις

μετὰ τὸ προσάρασθαι τὴν τροφὴν τὸ τῆς γαστρὸς στόμα βαρύνεταί τε καὶ θλίβεται καί τινα δύσφορον ἄσην ἔχει. καλοῦσι δ᾽ ὡσαύτως κἀκείνους, οἷς ἐπιγίνεται ναυτία, καὶ μᾶλλόν γε ὅταν εἰς ἔμετον ὁρμήσῃ, καὶ μᾶλλον ἔτι μετὰ τοῦ διαφθείρεσθαι τὰ σιτία, ποτὲ μὲν ὀξώδη γινόμενα, ποτὲ δὲ
13.128 καὶ κνισώδη, ποτὲ δὲ καὶ ἄλλην ποιότητα μοχθηρὰν ἐπικτώμενα. καὶ τούτων ἁπάντων ἔτι μᾶλλον ἐκείνους στομαχικοὺς ὀνομάζουσιν, ὅσοις ἐρυγαὶ τοιαῦται μετὰ δυσφορίας τινὸς καὶ ἄσης καὶ ἀνατροπῆς γίνονται, πολλάκις οὐδέπω τροφὴν προσενεγκαμένοις. κᾆν ἐπὶ πλεῖστον δὲ χρόνον ἐν τῷ στόματι τῆς γαστρὸς διαμένῃ τὰ σιτία βαρύνοντα καὶ μόλις ὑποβιβαζόμενα, καὶ τούτους στομαχικοὺς ὀνομάζουσιν. ἑτέρους δὲ τὴν καλουμένην ὄρεξιν κυνώδη ἴσχοντας, ὡς ἐσθίειν τε πλεῖστα καὶ βαρυνομένους μάλιστα ὀλίγον ὕστερον ἐμεῖν, ὁμοίως προσαγορεύουσιν, ἄλλους δὲ ἰσχυρῶς ἐκλυομένους, ὅταν ἐπὶ πλεῖον ἀσιτήσωσι, κᾆν μὴ θᾶττον ἐπὶ τὴν τῶν σιτίων ἀφίκωνται προσφορὰν, δακνομένους τὸ τῆς γαστρὸς στόμα, καλοῦσιν ὡσαύτως στομαχικούς. αὐτῶν δὲ τούτων ἔνιοι ναυτιώδεις γίνονται ῥᾳδίως, εἰ μὴ θᾶττον προσάροιντο πόμα καὶ σιτία. κατὰ μέθοδον οὖν λογικὴν ὁ τὰ βοηθήματα εὑρίσκων ἐπὶ τὴν τῆς διαθέσεως ἀφικνεῖται ζήτησιν, ἧς εὑρηθείσης εὐπορήσειν ἐλπίζει τῶν οἰκείων αὐτῇ βοηθημάτων. ὁ δὲ διὰ μόνης τῆς πείρας ἀθροίζων τὰ βοηθήματα περίπτωσίν τε τὴν ἑαυτοῦ περιμένει καὶ τὴν τῶν ἔμπροσθεν
13.129 ἱστορίαν ἀναλέγεται. γεγραφότων δὲ αὐτῶν ἀδιορίστως τὰ πλεῖστα, καὶ μέντοι καὶ διαφερομένων ἐν πολλοῖς, εἰκότως καὶ αὐτὸς ἄλλοτε ἄλλης γίνεται γνώμης, καὶ μᾶλλον ὅταν ὑπ᾽ αὐτῶν τῶν βοηθημάτων ἐνίοτε μὲν ὠφελουμένους ὁρᾷ τοὺς στομαχικοὺς, ἐνίοτε δὲ βλαπτομένους, καθάπερ ἐπὶ τῆς προκειμένης ἱερᾶς, ἣν οἱ νῦν ἰατρεύοντες ἐν Ῥώμῃ σχεδὸν ἅπαντες ὀνομάζουσι πικρὰν, ἐπειδὴ τὸ τῆς ἱερᾶς ὄνομα τῷ διὰ τῆς κολοκυνθίδος ἐπιφέρειν ἐδικαίωσαν. οἱ δὲ πρὸ ἡμῶν ἰατρεύσαντες ἐν Ῥώμῃ τὰς δύο καλοῦντες ἱερὰς προσέθεσαν αὐταῖς ἕνεκα διαστολῆς, τῇ μὲν ἑτέρᾳ τὸ διὰ κολοκυνθίδος, τῇ δ᾽ ἑτέρᾳ τὸ δι᾽ ἀλόης, οὕτω γράφοντες ἱερὰ ἡ διὰ κολοκυνθίδος, ἱερὰ ἡ δι᾽ ἀλόης. ἡ τοίνυν διὰ τῆς ἀλόης ἱερὰ σκευάζεται διττῶς, ὑπὸ μὲν ἐνίων, ὥσπερ καὶ ἡ τοῦ Ἀνδρομάχου πρὸς ἑκατὸν δραχμὰς τῆς ἀλόης, μιγνυμένων ἑκάστου τῶν ἄλλων δραχμῶν ἓξ, ὑπὸ δὲ ἐνίων τε οὐχ ἓξ, ἀλλ᾽ ὀκτώ. τινὲς δὲ τῆς ἀλόης εἰς ὀγδοήκοντα

δραχμὰς ἓξ τῶν ἄλλων μιγνύουσιν. οἱ μὲν οὖν πλεῖστοι τὰ μιγνύμενα τῇ
13.130 ἀλόῃ φάρμακα τὸν ἀριθμὸν ἓξ καὶ τὸ καλούμενον ἄνθος σχοίνου, καὶ μέντοι καὶ τὴν ἀλόην αὐτὴν ὁ μὲν Ἀνδρόμαχος πεπλυμένην, τῶν δὲ ἄλλων ἔνιοι μὲν οὕτως, ἔνιοι δὲ ἄπλυτον ἐμβάλλουσιν. ἡμᾶς δὲ νῦν χρὴ γινώσκειν εἰς μὲν τὴν ὑπαγωγὴν τῆς γαστρὸς ἐπιτηδειοτέραν εἶναι τὴν ἄπλυτον ἀλόην, ἀποτίθεσθαι δὲ τὸ πολὺ τοῦ φαρμακώδους τὴν πεπλυμένην καὶ ἣν μᾶλλον ἄν τις θαρρήσειε δοῦναι τοῖς πυρέσσουσιν, οὐδὲ τούτοις σφοδρῶς, ἀλλὰ πάνυ βληχρῶς. ἔνιοι δὲ καὶ τὸ διὰ τῆς ἀπλύτου πολλοῖς τῶν οὕτω πυρεσσόντων δόντες, εἶτα μηδὲν σαφὲς βλάψαντες, ἐπ᾽ ἄλλων μεγίστης ἐπειράθησαν βλάβης, ἐναντιωτάτη γάρ ἐστιν ἀλόη, κἂν πλυνθῇ, τοῖς ἄνευ μοχθηρῶν ὑγρῶν κατὰ δυσκρασίαν τὴν θερμὴν καὶ ξηρὰν ἐνοχλουμένοις. ἐγγὺς δέ τι τούτων καὶ οἱ κατὰ τὴν ξηρὰν δυσκρασίαν, εἰ μετὰ ψυχρότητος εἴη τὴν βλάβην ἴσχουσι. καὶ ὅλως ὅσοι κατὰ τὰς ποιότητας μόνας ἐβλάβησάν τι μόριον. αἱ γὰρ ἐπὶ χυμοῦ δυσκρασίαι τῶν κενούντων αὐτὰς δέονται φαρμάκων. αἱ δ᾽ ἄνευ τούτων εἰς μαρασμὸν ἀφικνοῦνται πάντως ἐπὶ τῷ διὰ τῆς ἀλόης φαρμάκῳ, ἔνθα
13.131 τοίνυν ὑγρότης μοχθηρὰ διαβρέχει τοὺς χιτῶνας τῆς γαστρὸς, ἡ δι᾽ ἀλόης πικρὰ χρήσιμος, ἐκκαθαίρουσα τὴν ὑγρότητα. πάντως δὲ τοῖς οὕτω διακειμένοις ὑπάρχει σύμπτωμα ναυτιῶδες ἧττον ἢ μᾶλλον. αὕτη μὲν οὖν ἡ κένωσις τοῦ λυποῦντος χυμοῦ διὰ τῆς ἀλόης γίνεται μόνης, καθαρτικὴν ἐχούσης δύναμιν οὐκ ἰσχυρὰν, ἀλλ᾽ ὥστε τὰ μὲν κατὰ τὴν κοιλίαν ὧν ψαύει δύνασθαι καθαίρειν, κἂν πλείων ποτὲ δοθῇ, μέχρι τῶν κατὰ τὸ ἧπαρ ἀναβαίνει χωρίων, οὐ μὴν ὅλου τοῦ σώματός ἐστι καθαρτικὸν ἡ ἀλόη. τῶν μιγνυμένων δ᾽ αὐτῇ μαστίχη μὲν ὡς εὐστόμαχός τε καὶ εὐώδης, θραῦσαι τὸ φαρμακῶδες τῆς ἀλόης δυναμένη μίγνυται. κιννάμωμον δὲ πρὸς αὐτοῖς ὅτι λεπτομερέστατόν ἐστιν, ὡς ἀναστομοῦν τε ἅμα τοὺς πόρους τῆς γαστρὸς διαρρύπτειν τε καὶ λεπτύνειν εἴ πού τι γλίσχρον ἢ παχὺ τοῖς χυμοῖς ἐπιφέροιτο. τὰ γὰρ παχέα τῶν ὑγρῶν διὰ τὴν τῆς καθαρτικῆς δυνάμεως ἀρρωστίαν οὐ πέφυκεν ἕλκειν ἡ ἀλόη διὸ καὶ τῶν χολωδῶν τῶν ἐν τῇ γαστρὶ διαθέσεων ἄριστόν ἐστι φάρμακον, ὡς ἐν ἡμέρᾳ μιᾷ πολλάκις ἰάσασθαι, στομαχικῶς ἐνοχλεῖσθαι
13.132 πεπιστευμένους πολλούς. ὠφελεῖ δὲ καὶ ταῦτα καὶ τἄλλα πάντα πάθη τὰ κακόχυμα τὸ κιννάμωμον μιγνύμενον, ἀλλοιωτικὴν ἐπὶ τὸ κατὰ φύσιν

ἔχον δύναμιν τῶν μοχθηρῶν ποιοτήτων. εἰδέναι τοίνυν χρὴ τὰς ἐπὶ χυμοῖς μοχθηροῖς διαθέσεις κατά τε τὴν γαστέρα καὶ τὸν στόμαχον ὠφελουμένας μὲν διὰ τῶν τῆς ἀλόης φαρμάκων, εἰς μεγίστην δὲ βλάβην ἀφικουμένας ὑπὸ τῶν στυφόντων ἐδεσμάτων τε καὶ πομίτων καὶ φαρμάκων. ὥσπερ γε πάλιν ἐφ᾽ ὧν ὑγρότης πολλὴ καὶ οἷον πλάδος τίς ἐστι κατὰ τὸ πεπονθὸς ἄνευ κακίας χυμῶν, αὐτῷ μόνῳ τῷ ποσῷ λυποῦσα καὶ οἷον διάβροχον ἐργασαμένη τὸ τῆς γαστρὸς σῶμα χρησιμωτάτη τῶν στυφόντων ἐδεσμάτων τε καὶ πομάτων καὶ φαρμάκων ἡ χρῆσίς ἐστιν, ἐκλύτου καὶ παρέτου γενομένου τηνικαῦτα τοῦ πεπονθότος, ὁμοίως τοῖς κεχαλασμένοις ἄρθροις, ἐφ᾽ ὧν καὶ αὐτῶν ἡ τῶν στυφόντων χρῆσις ἐπανορθοῦται τὴν διάθεσιν. ἀλλ᾽ ἥ γε πικρὰ, περὶ ταύτης γὰρ ἡμῖν ὁ λόγος, ὥσπερ τὸ κιννάμωμον, οὕτω καὶ τἆλλα τὰ μὲν ὡς εὐστόμαχα, τὰ
13.133 δὲ ὡς λεπτομερῆ καὶ ῥύπτοντα λαμβάνει, τῇ μὲν ἰσχύι πάμπολυ κινναμώμου λειπόμενα, τὸ δὲ γένος τῆς δυνάμεως ταὐτὸν ἔχοντα. δευτέραν ἐπὶ τῇ προγεγραμμένῃ συνθέσει ὁ Ἀνδρόμαχος κατὰ λέξιν οὕτως ἔγραψεν, ὡς Λάμπων ὁ Πηλουσιώτης. ℞ κινναμώμου, καλάμου ἀρωματικοῦ, κασσίας μελαίνης, ξυλοβαλσάμου, σχοίνου ἄνθους, ἐλάτης ἀνὰ γο γ′. οἱ δὲ ἀνὰ γο α′. κόψας πάντα ἀδρομερῶς, ἔμβαλλε εἰς χύτραν καινὴν, ἐπιβαλὼν ὕδατος ὀμβρίου ξε. γ′. καὶ ἕψε ἕως τὸ ἥμισυ λειφθῇ καὶ διήθησον καὶ λαβὼν ἀλόης Ἰνδικῆς λίτραν α′. ἐπίχει ὕδατος ὀμβρίου τὸ ἱκανὸν καὶ λέαινε τοῖς ὑπὸ κύνα καύμασιν ἕως ξηρανθῇ, τούτῳ πρῶτον ἀπογλυκάνας τὴν ἀλόην τό τε ἀπὸ τῶν ἀρωματικῶν βαλὼν ὕδωρ λέαινε ἐν ἡλίῳ ἄχρι ξηρανθῇ, καὶ λεάνας λεῖα κατάμισγε ταῦτα, κρόκου, σμύρνης, μαστίχης ἀνὰ γο γ′. οἱ δὲ ἀνὰ γο α′. συλλεάνας ὁμοῦ πάντα, ἀπόθου ξηρὸν καὶ χρῶ ποτίσματι πρὸς σπάσματα, ῥήγματα, πληγὰς τῶν ἐντὸς, ἐναρχομένους πόνους πλευρῶν καὶ ἐπὶ τῶν πνευματουμένων, στομάχους ἀλγούντων καὶ βραδυπεπτούντων καὶ αἷμα
13.134 ἀναγόντων καὶ ἰσχιαδικῶν τὴν τελείαν δόσιν δίδου ἐν ὕδατος κυάθῳ ἑνὶ ὀβολὸν α′. οἷς δὲ ὀβολοὺς δύο, τοῖς δὲ ἄλλοις πρὸς δύναμιν. ἐπὶ δὲ τῶν τραυμάτων καὶ φλεγμονῶν διηθὲν, ὀξυμέλιτος πάχος ἐπιτεθειμένον. ἐπὶ δὲ τῶν ἐν ὀφθαλμοῖς φλεγμονῶν χυλῷ ἡδυόσμου ἢ καλαμίνθης ἢ στρύχνου ἤ τινος τῶν ὁμοίων. ἐπὶ δὲ τῶν ἐν δακτυλίῳ φλεγμονῶν ἐν ῥοδίνῳ ἢ οἴνῳ Ἀμιναίῳ. χρῶ δὲ καὶ ἐπὶ παρωνυχιῶν ξηρῷ, ἐπάνω μοτῶν

σὺν ῥοδίνῳ καὶ πρὸς αἱμορραγίας καὶ ξηρὸν σὺν ὄξει καὶ πρὸς ἐσχάραν ἐν στόματι, ἐν γλυκεῖ ἀναγαργαριζόμενον. τοῦτο τὸ φάρμακον, ὃ τοῦ Πηλουσιώτου Λάμπωνος εἶναί φησι τῶν πολυχρήστων ἐστὶ, περὶ ὧν εἴρηταί τι καὶ πρόσθεν, ὡς ἀπολειπόμενα τῶν ἔν τι ποιούντων ἄριστα τῷ πλήθει τῆς ἐπαγγελίας σπουδάζεται, βουλομένων ἡμῶν ἓν ἔχειν μᾶλλον ἐπὶ παθῶν εἴκοσιν ἁρμόζον ἢ τοσαῦτα τὸν ἀριθμὸν ἕτερα βελτίω καθ' ἓν ἕκαστον πάθος ἑνὸς τοῦ πολυχρήστου. δύναμις δὲ αὐτοῦ, καθ' ἣν ἐπὶ τῶν
13.135 προειρημένων ἐνεργεῖ, λεπτομερής τε καὶ θερμαίνουσα καὶ τέμνουσα καὶ διαρρύπτουσα καὶ ἀναστομῶσα καὶ διὰ ταῦτα διαφορητικὴ τῶν πλεοναζόντων ἔν τισι μορίοις ἰχώρων τε καὶ χυμῶν, κατὰ τοῦτο δὲ καὶ τοῖς προκειμένοις ἐν τῷ λόγῳ πάθεσιν ἁρμόττει διαφοροῦν τοὺς μοχθηροὺς, ὡς ἔφην, ἰχῶράς τε καὶ χυμοὺς τῶν πεπονθότων μορίων, ὥστε καὶ τὰς προειρημένας τῆς κοιλίας διαθέσεις, ἐφ' ὧν ἡ πικρὰ κάθαρσιν ἐργάζεται μετρίαν, ἰάσαιτο τῷ ξηραίνειν κατ' ὀλίγον οὐ τῷ κενοῦν ἀθρόως, ἀμείνων οὖν εἰς τὰς τοιαύτας διαθέσεις ἡ πρώτη γεγραμμένη πικρά. τρίτον ἐπὶ τοῖς προγεγραμμένοις ὁ Ἀνδρόμαχος ἔγραψε φάρμακον ὠδί πως.

Πρὸς στομαχικοὺς καὶ κοιλιακοὺς ὁ πικρὸς τροχίσκος μαλάσσει κοιλίαν, ποιεῖ καὶ πρὸς ὕπνον καὶ ἔστιν ἐκ τῶν Ἀφρόδα. ποιεῖ καὶ πρὸς κύστιν καὶ πρὸς τὰ ἐν κώλῳ. ⳕ Σελίνου σπέρματος ʃ στ′. ἀνίσου ʃ στ′. πεπέρεως λευκοῦ ʃ α′ ′′. καστορίου ʃ β′. σμύρνης ʃ α′ ′′. νάρδου Κελτικῆς τοῦ ἄνθους ʃ α′ ′′. ὀπίου ʃ α′ ′′. κινναμώμου ʃ α′ ′′. ἀψινθίου κόμης ʃ γ′. ἀλόης τριώβολον, μαστίχης ʃ α′. μεθ' ὕδατος ἀνάπλασσε τροχίσκους
13.136 τριωβολιαίους ἢ ἀνὰ ʃ α′. καὶ δίδου μεθ' ὕδατος κυάθων γ′. οὐδ' ἐπὶ τούτου τοῦ φαρμάκου προσέγραψεν ὁ Ἀνδρόμαχος, ὁποίους λέγει στομαχικοὺς τούς τι πάσχοντας. ἐκ δὲ τοῦ προσκεῖσθαι τῇ συνθέσει τὸ ὀπίου ὁ συνθεὶς τὸν τροχίσκον εὔδηλός ἐστιν ἐστοχασμένος τοῦ ξηραντικόν τε ἅμα καὶ ἀνώδυνον ἐργάσασθαι τὸ φάρμακον, ὕπνον τέ τινα φέρον, οὐ μὴν πρὸς μίαν γε τῶν εἰρημένων διαθέσεων ἀγωνιστικῶς ἱστάμενος, ἐκκόψαι διὰ ταχέων αὐτήν. τέταρτον ἄλλο φάρμακον ὁ Ἀνδρόμαχος ἔγραψεν, οὐδὲ πρὸς μίαν διάθεσιν ἀγωνιστικῶς συγκείμενον οὔτε πρὸς πολλὰς μετρίως. ἔχει δὲ οὕτως ἡ γραφή.

Πρὸς στομαχικοὺς ἱερὰ Ἀντιπάτρου. ⳨ Ἀλόης καλῆς ⟨ δ′. μαστίχης ⟨ β′. ἀσάρου ⟨ δ′. ῥόδων ξηρῶν, σχοίνου, μήου, φοῦ, κασσίας ὁμοίως ἀνὰ γο ′′. ξηρῷ λείῳ χρῶ ὡς ἐπὶ τῆς ἀλόης. τὸ πέμπτον δὲ ἐπὶ τούτοις φάρμακον, ὃ δι’ ἀρνογλώσσου χυλοῦ σκευάζεται, καί φησιν Ἀπολλωνίου εἶναι αὐτὸ, τοιοῦτόν ἐστιν. ⳨ ἀρνογλώσσου χυλοῦ ξηροῦ ⟨ γ′. μαστίχης ⟨
13.137 β′. σμύρνης ⟨ α′. ἡδυόσμου ⟨ α′. ζιγγιβέρεως ⟨ α′. δοκεῖ μοι ταύτης τῆς δυνάμεως ὁ Ἀπολλώνιος πεπειρᾶσθαι, θερμοτέραν διάθεσιν ἔχοντος τοῦ στομάχου, καὶ οὕτως αὐτὴν ἀδιορίστως ἐπαινεῖν, οὐ δυναμένην ἐπὶ τῶν ψυχρὰν ἐχόντων διάθεσιν ἁρμόττειν, ἐμψυκτικὸς γάρ ἐστιν ὁ τοῦ ἀρνογλώσσου χυλός· ἡ δὲ ἐφεξῆς γεγραμμένη δοκεῖ μοι συντίθεσθαι προσπταίσαντος ἐν τῇ τῆς προτέρας χρήσει τοῦ συνθέντος αὐτὴν καὶ γνόντος ὡς ἐμψῦχον ἐποίησε τὸ φάρμακον, εἶτα διὰ τοῦτο καστορίου τε προσθέντος ὀλίγον καὶ ἀλόης τι κενοῦν δυναμένης καὶ μαστίχης ὡς εὐστομάχου καὶ κρόκου καὶ σμύρνης ὡς πέπτειν δυναμένων. διόπερ οὔτε τοῦτο τὸ φάρμακον οὔτε τὸ πρὸ αὐτοῦ παραλάβοιμι ἂν ἐπὶ στομαχικῆς διαθέσεως, οὐδεμίαν ἰάσασθαι καλῶς δυνάμενα πλὴν τῆς ἱκανῶς θερμῆς. ἔγραψε δ’ οὕτως αὐτό. ⳨ ἀρνογλώσσου χυλοῦ ξηροῦ ⟨ ι′. ἀλόης Ἰνδικῆς ⟨ α′. μαστίχης ⟨ α′. κρόκου ὀβολοὺς β′. ὀπίου τριώβολον, καστορίου τριώβολον, σμύρνης ⟨ α′. ἀνάπλασσε ἡλίκα ἐρέβινθος. ὡσαύτως δὲ οὐδὲ τὸ ἐφεξῆς γεγραμμένον ἄνευ διορισμοῦ καλῶς ἄν τις παραλάβοι κατὰ
13.138 διάθεσιν ἄλλην, ὅτι μὴ μετρίας ξηρότητος καὶ στύψεως δεομένην, ἐπὶ χυμοῖς ὀλίγοις μὲν, μοχθηροῖς δὲ τῇ ποιότητι, σύγκειται γὰρ ἐξ ἠλέκτρου καὶ μαστίχης, ὡδίπως αὐτὸ γράψαντος καὶ τοῦ Ἀνδρομάχου. ⳨ ἠλέκτρου, μαστίχης Χίας, τὴν ἤλεκτρον πλείονα βάλλε, δίδου κοχλιάριον ἓν, λεάνας ὕδατι. τὸ δ’ ἐφεξῆς τῶν προγεγραμμένων φαρμάκων, οὕτω πως ἔχον ἐν τῇ γραφῇ, στομαχικὴ Γάλλου τῇ θερμαίνεσθαί τε καὶ τέμνεσθαι δεομένῃ διαθέσει χρήσιμός ἐστιν ἐκ μαράθρου καὶ ὄξους καὶ μέλιτος συγκειμένη, ἣν κατὰ λέξιν ἔγραψεν οὕτως ὁ Ἀνδρόμαχος. στομαχικὴ Γάλλου. μαράθρου χλωροῦ ῥίζης φλοιοῦ λίτρας . ὄξους δριμέος ξε. α . ἀλόης γο γ . μέλιτος Ἀττικοῦ λίτραν μίαν. τὰς ῥίζας πλύνας ἔμβρεχε τῷ ὄξει ἡμέρας γ . εἶτα ἕψονται εἰς τὸ τρίτον, εἶτα ὅταν ἑφθαὶ γένωνται, ἐκθλιβεῖσαι ῥίπτονται, ἐπιχέας δὲ τὸ μέλι συνέψει, εἶτα ἐπίπασσε τὴν ἀλόην καὶ δίδου κοχλιάρια γ . σὺν ὕδατι. Ἀλκέτιος δὲ ὁ

σοφιστὴς προσέθηκε τῇ γραφῇ, πηγάνου καὶ σελίνου ἐγκάρπων ἀνὰ χειροπληθὲς κελεύσας σὺν ταῖς ῥίζαις βρέχεσθαι καὶ τοῦ ὄξους ξε. .

13.139 τοῦ μέλιτος λίτρας β . καὶ ταύτην ἐπαινεῖ. τοῖς προγεγραμμένοις ἐφεξῆς ἔγραψεν ὁ Ἀνδρόμαχος οὕτως εἰπών. στομαχικὴ ὡς Νικόστρατος. ⁋ καθαρᾶς ἠλέκτρου, Χίας μαστίχης, ἴρεως Ἰλλυρικῆς ἀνὰ γο δ′. ῥόδων ἄνθους γο β′. δίδου ξηροῦ λείου κοχλιάρια β′. μεθ’ ὕδατος γαλακτώδους, εὐθὺς γὰρ ἄπονον ποιεῖ, ἐν κερατίνῳ δὲ ἀποκείσθω. καὶ τοῦτο δὲ τὸ φάρμακον εὔδηλον ὅτι στυπτικώτερόν πώς ἐστι καὶ δεῖται διαθέσεως ὑγροτέρας ἐπὶ χυμοῖς οὔτε πολλοῖς οὔτε λίαν δακνώδεσιν, ἐφ’ οἷς, οἶμαι, πειραθέντα τὸν συνθέντα τὸ φάρμακον ἢ χρώμενον αὐτῷ συνεχῶς, ἄπονον ποιῆσαι τὸν κάμνοντα καὶ καθολικὴν ἀπόφασιν προσθεῖναι τῷ φαρμάκῳ, τοῦ ποιεῖν εὐθέως ἄπονον τὸν κάμνοντα, οὐ δυνάμενον ἐπὶ πολλῶν τοῦτο πράττειν. καὶ τὸ τελευταῖον γεγραμμένον φάρμακον ὑπ’ Ἀνδρομάχου τόνδε τὸν τρόπον πρὸς στομαχικούς. ⁋ μαράθρου ῥίζης φλοιοῦ ‹ β′. οἴνου κυάθους γ′. ἕψε ἕως γένηται κύαθος εἷς, καὶ δίδου ὅλον, καὶ τοῦτο τῶν θερμαινόντων ἐστὶ καὶ δεῖται διαθέσεως θερμαίνεσθαι δεομένης.

13.140 Περὶ τῶν ὑπ’ Ἀσκληπιάδου γεγραμμένων στομαχικῶν φαρμάκων ἐν τῷ πρώτῳ τῶν ἐντός. Ἤρξατο μὲν οὖν αὐτῶν ὡδί πως, πρὸς στομάχου ἀνατροπάς. τίνας δὲ λέγει ἀνατροπὰς οὐκ ἐδήλωσε σαφῶς. δύναται μὲν γὰρ καὶ τὰς ἀνορεξίας λέγειν, δύναται δὲ καὶ τὰς ἐπὶ τῇ τροφῇ γινομένας ναυτιώδεις διαθέσεις. ἐνίοτε μὲν γὰρ ἓν τοῦτο μόνον σύμπτωμα γίνεται μετὰ τὰς ἐδωδὰς, ἂν κινηθῶσιν ἰσχυροτέραν βραχὺ κίνησιν εὐθέως ἐμοῦσι. καλοῦσι γοῦν ἔνιοι καὶ τοὺς τοιούτους στομαχικοὺς καὶ ὑπτιοῦσθαι τὸν στόμαχον αὐτοῖς φασιν. ἕπεται δὲ τὸ σύμπτωμα τοῦτο ποτὲ μὲν ἀτονίᾳ μόνῃ τοῦ στόματος τῆς κοιλίας, οὐ δυναμένου περιστέλλεσθαι τοῖς σιτίοις ὁμοίως τῷ παντὶ κύτει τῆς γαστρὸς, ἔσθ’ ὅτε δὲ καὶ μετὰ τοῦ μοχθηράν τινα περιέχειν ὑγρότητα βραχεῖαν. ἡ γὰρ πολλὴ, καθάπερ γε καὶ ἡ πάνυ μοχθηρὰ καὶ χωρὶς τροφῆς, ἐργάζεται τὴν ναυτίαν, ἀλλ’ ὅ γε καλούμενος ὑπὸ τῶν πολλῶν ὑπτιασμὸς τοῦ στομάχου γίνεται μὲν καὶ κατὰ δυσκρασίαν ἡντιαοῦν ἄνευ κακίας ὑγρῶν,

13.141 γίνεται δὲ καὶ δι’ ὑγρότητα πολλὴν μέν, οὐ μὴν κακοήθη τῇ ποιότητι. διαβρεχόμενος γὰρ ὁ στόμαχος ὑγρότητι δαψιλεῖ χαλᾶται τοῖς

συνδετικοῖς νεύροις ὁμοίως. εὐιατοτάτη τοιγαροῦν ἡ διάθεσις αὕτη σχεδὸν ἁπασῶν ἐστι δεομένη φαρμάκων, ξηρᾶναι μὲν τὴν ὑγρότητα δυναμένων, συνάγειν δὲ καὶ σφίγξαι τὸ κεχαλασμένον σῶμα. διὰ βάθους μὲν οὖν ἐκτεταμένης τῆς ὑγρότητος καὶ παχείας καὶ γλίσχρας οὔσης, χρεία μίξεώς ἐστι φαρμάκου λεπτυντικοῦ τε καὶ ὡς ἂν εἴποι τις διαβρωτικοῦ, ὁποῖόν ἐστιν ὄξος τε καὶ ὀξύμελι. μήτε δὲ τοιαύτης οὔσης τῆς ὑγρότητος μήτε διὰ βάθους ἱκανὰ μόνα τὰ στύφοντα θεραπεύειν ἐστί. τὸ τοίνυν προκείμενον ἐν τῷ λόγῳ φάρμακον οὐ τῶν μετρίων ὑπτιασμῶν, ἀλλὰ τῶν ἰσχυροτέρων ἐστὶν ἰατικόν. ἦν δ' ἂν μετρίων, εἰ τὰ στύφοντα μόνα τις ἔμιξεν ἢ καὶ τῶν θερμαινόντων τι, ψυχρᾶς τῆς διαθέσεως αἰσθανόμενος. ἱκανὸν δὲ γνώρισμα τοῦ ψυχροτέραν τὴν διάθεσιν εἶναι πρὸς τῇ τοῦ κάμνοντος αἰσθήσει τὸ ἄδιψον. ὅταν γὰρ μήτε διψώδης εἴη μήτε καύματος αἰσθάνηται κατὰ τὸ τῆς κοιλίας στόμα, δῆλόν ἐστιν οὐκ εἶναι θερμὴν τὴν διάθεσιν. ἐπιτήδεια τοίνυν ἐστὶν εἰς τὰ
13.142 τοιαῦτα πάθη τῆς γαστρὸς τὰ γεγραμμένα τέτταρα φάρμακα κἀγὼ νῦν γράψω κατὰ τὴν αὐτοῦ Ἀσκληπιάδου λέξιν τε καὶ τάξιν.

Πρὸς στομάχου ἀνατροπάς. Ῥοιᾶς ὀξείας τῶν πυρήνων τεθλασμένων τοῦ χυλοῦ ξε. γ . ἡδυόσμου χυλοῦ ξε. α . μέλιτος Ἀττικοῦ ξε. α . βαλὼν εἰς ἀγγεῖον κεραμεοῦν ἕψε κινῶν συνεχῶς, καὶ ὅταν συστραφῇ, ἄρας ἀπὸ τοῦ πυρὸς ἀπόθου. ἐν δὲ τῇ χρήσει δίδου πρὸ τροφῆς μύστρον α . ἢ καὶ δύο. ἄλλο, ποιεῖ καὶ δυσεντερικοῖς καὶ ἐμοῦσι τὴν τροφήν. μηλέας κυδωνίας τῆς ῥίζης λίτραν α . οἴνου μυρτίτου ξε. γ . ἕψε εἰς τὸ τρίτον, εἶτα ἐκθλίψας τὸ ὑγρὸν, ἐπίβαλλε μέλιτος Ἀττικοῦ λίτραν α . καὶ πάλιν ἕψε συνεχῶς κινῶν καὶ ἀνελόμενος, δίδου καθὰ προείρηται.

Ἡ διὰ τῶν ὀπωρῶν. ποιεῖ πρὸς στομάχου ἀνατροπὴν καὶ κοιλιακοῖς καὶ δυσεντερικοῖς. ⸗ Μῆλα Κυδώνια ἀριθμῷ ι′. οὖα ἀριθμῷ ν′. μέσπιλα ἀριθμῷ ν′. ῥοῦ ἐρυθροῦ ξε. α′. ὕδατος χοὰς στ′. τὰς ὀπώρας θλάσας καὶ
13.143 βαλὼν εἰς ὕδωρ ἕψε φιλοπόνως. καὶ ὅταν διαλυθῇ, ἔκθλιβε τὸ ὑγρὸν καὶ πάλιν ἕψε, ἐκβαλὼν τὸ ἀχυρῶδες τῶν ὀπωρῶν, καὶ ὅταν τὸ τρίτον τοῦ ὑγροῦ ὑπολειφθῇ, ἐπίβαλλε μέλιτος Ἀττικοῦ λίτρας δ′. καὶ ἕψε ἐπ' ἀνθράκων κινῶν συνεχῶς, καὶ ὅταν συστραφῇ, ἄρας ἀπόθου. ἡ χρῆσις δεδήλωται. ἄλλο. ⸗ οὖων πεπείρων ξε. α′. μύρτων μελάνων ξε. α′. ῥοῦ

Συριακοῦ ξε. α ′ . κοκκυμήλων ἀγρίων ξε. α ′ . μεσπίλων ξε. α ′ . φοινικοβαλάνων Θηβαϊκῶν λίτρας β ′ . μῆλα κυδώνια ι ′ . ῥοιὰς ὁλοκλήρους σὺν τοῖς πυρῆσιν ι ′ . γλεύκους Ἀμιναίου ξε. μη ′ . σκεύαζε κατὰ τρόπον καὶ τὸ ὑγρὸν ἐκθλίψας, πάλιν ἕψε φιλοπόνως, ὥστε συστραφῆναι, καὶ χρῶ καθὰ προείρηται, ὁμοίως ταῖς προγεγραμμέναις δυνάμεσιν. πέμπτην ἔγραψεν ὁ Ἀσκληπιάδης ὡδί πως.

Καταπότια πρὸς στομάχου ἀνατροπὰς Ὀριγενείας, καλὰ καὶ δόκιμα λίαν. ℞ Ῥόδων ἄνθους ‹ η΄. μυρσίνης μελαίνης τοῦ καρποῦ, χωρὶς τῶν γιγάρτων, ὀξύβαφον, ὑοσκυάμου σπέρματος ὀξυβάφου ἥμισυ, τρῖβε ὁμοῦ
13.144 φιλοπόνως κατὰ μικρὸν ἐπιβαλὼν προτρόπου ὅσον ἐξαρκεῖ, ἔπειτα τούτοις ἐπιβάλλων φοινίκων πατητῶν ι′. τὴν σάρκα καὶ συλλεάνας, ἀνάπλασσε καταπότια ἐρεβίνθου τὸ μέγεθος καὶ δίδου γ′. ἢ καὶ δ′. καὶ μελικράτου παλαιοῦ κεκραμένου κυάθους β′. καὶ τοῦτο τὸ φάρμακον ἐπὶ τῶν αὐτῶν διαθέσεών ἐστι χρήσιμον, ἐφ᾽ ὧν καὶ τὰ πρὸ αὐτοῦ τέσσαρα. βεβούληται δὲ ὁ συνθεὶς αὐτὸ καὶ ὑοσκυάμου σπέρμα μίξας διὰ τὴν μίξιν ταύτην ἀνωδυνώτερόν τε καὶ ὑπνοποιὸν ἐργάσασθαι μετὰ τοῦ καὶ ξηραίνειν. εὔδηλον δ᾽ ὅτι καὶ ψυκτικὸν ἔχει τι τὸ σπέρμα τοῦ ὑοσκυάμου, καθάπερ καὶ τὰ τῆς μήκωνος, ὥστε πρὸς τὰς θερμὰς διαθέσεις ἁρμόττειν. ὅμοιον τῷ προγεγραμμένῳ φάρμακον ἐφεξῆς αὐτῷ γέγραπται κατὰ λέξιν τήνδε. ℞ ῥόδων προσφάτων χωρὶς τῶν λοβῶν ‹ η΄. μήκωνος λευκῆς τοῦ σπέρματος ‹ δ΄. ὑοσκυάμου σπέρματος ‹ β΄. ἀλόης τριώβολον, ἀσάρου τριώβολον, ὕδατι διαλύσας ἀνάπλασσε σφαιρία καὶ δίδου ἐρεβίνθου τὸ μέγεθος. ἕβδομον ἐπὶ τοῖς προγεγραμμένοις φάρμακον ὁ Ἀσκληπιάδης ἔγραψεν, προσθεὶς αὐτῷ διορισμὸν ἀπὸ συμπτώματος φαινομένου. φησὶ
13.145 γὰρ τοῖς ἐγκαιομένοις ἁρμόζειν αὐτὸ καὶ διὰ τοῦτο ἄδιψον ὀνομάζει τὴν σύνθεσιν αὐτοῦ γράφων τήνδε.

Ἐγκαιομένοις ἄδιψον καταπότιον. ℞ Σικύου ἡμέρου σπέρματος ‹ η΄. ἀνδράχνης σπέρματος ‹ η΄. τραγακάνθης ‹ δ΄. διάλυε τὴν τραγάκανθαν ὠῶν ὠμῶν προσφάτων τῷ λευκῷ καὶ ὅταν διαλυθῇ, τρίψας ἐπιμελῶς, ἐπίβαλλε τοῖς λοιποῖς καὶ τρίψας ἐπιμελῶς καὶ μίξας, ἀνάπλαττε καταπότια καὶ ξήραινε ἐν σκιᾷ, καὶ δίδου ἓν ὑπὸ τὴν γλῶτταν κατέχειν καὶ τὸ διαλυόμενον ὑγρὸν καταπινέτω καὶ τὸ μετὰ τοῦτο δὲ ψυκτικόν τε

ἅμα καὶ τονωτικὸν πλαδῶντος στομάχου, διάθεσιν ἔχοντος ὑγρὰν καὶ θερμήν. γράφει δὲ περὶ αὐτοῦ κατὰ λέξιν οὕτως ὁ Ἀσκληπιάδης.

Ἄλλο. ποιεῖ καὶ πρὸς τὴν τοῦ στομάχου ἀνατροπὴν, μάλιστα δὲ χρήσιμόν ἐστι τοῖς καῦμα πολὺ ὑπομένουσιν καὶ τοῖς καυσουμένοις. ♃ Ῥόδων χλωρῶν τῶν φύλλων ‹ στ΄. γλυκυρρίζης ‹ δ΄. νάρδου Ἰνδικῆς ‹ δ΄. οἴνῳ γλυκεῖ ἢ προτρόπῳ ἀναλάμβανε καὶ ποίει καταπότια καὶ δίδου ἓν ὑπὸ
13.146 τὴν γλῶτταν κατέχειν ἢ διαλύων ὕδατι ψυχρῷ, ἐρεβίνθου τὸ μέγεθος δίδου πίνειν. ἕνατον ἐπὶ τοῖς προγεγραμμένοις φάρμακον ἔγραψεν ὁ Ἀσπληπιάδης ὡδί πως. πρὸς λυγμὸν καὶ στομάχου ἀτονίαν καὶ τροφῆς ἀναβολήν. ἡ μὲν οὖν ἀναβολὴ, τουτέστιν ὁ ἔμετος, ἐκ τοῦ γένους ἐστὶ τῶν ὑπτιασμῶν. ὅταν γὰρ ἰσχυρῶς τὸ στόμα τῆς γαστρὸς πάθῃ. τοῦτο γίνεται, καθάπερ ἔφην, ἐπί τε μοχθηρῶν χυμῶν, οὓς ἀπορρύψαι δι’ ἀτονίαν ἡ γαστὴρ ὁρμήσασα τὸ τῆς ναυτίας ἴσχει σύμπτωμα καὶ πρὸ τοῦ προσάρασθαι τὴν τροφὴν καὶ δι’ ἀτονίαν ἐσχάτην ἐπὶ τῇ τροφῇ πάσχει τοῦτο. τοὺς μὲν οὖν ἐπὶ τῇ τῶν ὑγρῶν φαυλότητι γινομένους ὑπτιασμοὺς ἡ πικρὰ θεραπεύει τάχιστα τὴν κακοχυμίαν ἐκκαθαίρουσα. τῶν δὲ διὰ τὴν ἀτονίαν βαρυνομένου τοῦ στομάχου γινομένων ἐμέτων ἴασίς ἐστι κατὰ τὴν τῆς δυσκρασίας ἐπανόρθωσιν. οὐκ ὀλιγάκις δὲ συμβαίνει μὴ μόνον τὸν στόμαχον, ἀλλὰ καὶ τὴν γαστέρα δι’ ἀτονίαν οὐ δυναμένην φέρειν τὸ βάρος τῶν σιτίων, ἀπορρίπτειν αὐτὰ ποτὲ μὲν εἰς τὸ κάτω μέρος, ὅταν καὶ ὁ στόμαχος ἐκείνων εὐτονώτερος ᾖ, ποτὲ δὲ ἄνω δι’
13.147 ἀτονίαν στομάχου, καθ’ ὃν ἂν καιρὸν οὗτος ἀτονώτερος ᾖ τῶν κάτω. τοῦτο τοίνυν τὸ σύμπτωμα τὸ κατὰ τοὺς ἐμέτους ἓν μέν ἐστιν, ἔπεται δὲ πολλαῖς διαθέσεσι διάφορον ἐχούσαις ἴασιν. ὡσαύτως δὲ καὶ ὁ λυγμὸς ἐνίοτε μὲν ἐπιγίνεται τῷ στομάχῳ διὰ ψύξιν ἢ πλήρωσιν, ἐνίοτε δὲ διὰ δῆξιν ὑγρῶν, δριμέων τε καὶ φαρμακωδῶν ταῖς ποιότησιν. οὔκουν οἷόν τε φάρμακον εὑρεῖν ἐστιν ἐπιτήδειον ἁπάσαις ταῖς εἰρημέναις διαθέσισιν. ἃ δ’ ἐφεξῆς ἀλλήλων ἔγραψεν ὁ Ἀσκληπιάδης δύο πρὸς τοῖς ἄλλοις φάρμακα δέδεικται πολὺ διαφέρουσαν ἔχοντα τὴν οὐσίαν τῆς ἀνθρωπίνης φύσεως, ἃ μάλιστα πάντων τῶν μορίων τοῦ σώματος ὁ στόμαχος οὐ φέρει διὰ τὸ περιττὸν τῆς αἰσθήσεως. ἀνιᾶται οὖν μεγάλως, κἂπειδὰν τῶν στοματικῶν τι φαρμάκων εἰς αὐτὸν τύχῃ παραρρυὲν, ὅσα χάλκανθον ἤ τι τοιοῦτον ἔχει. τὸ γὰρ διὰ τῶν ὀπωρῶν ἐξ ἐδωδίμου

γέγονεν ὕλης. ἐναντιώτατον δέ ἐστιν ἀνθρώπου φύσει τὸ χάλκανθον, ὥσπερ δὴ καὶ ὁ μανδραγόρας. φευκτέον οὖν ἐστι τὰ δύο ταῦτα φάρμακα
13.148 τὰ διὰ χρυσοβαλάνου τε καὶ μανδραγόρου ῥίζης τοῦ φλοιοῦ συγκείμενα, παραθήσομαι δ' ὅμως αὐτῶν καὶ τὴν σύνθεσιν. ἔστι δ' ἡ μὲν τοῦ προτέρου γεγραμμένη τοιάδε. χρυσοβαλάνου λίτραν α . μαστίχης Χίας λίτραν . μανδραγόρου ῥίζης φλοιοῦ γο γ . κόψας καὶ σήσας, ἀναλάμβανε ἡδυόσμου χυλῷ καὶ ποίει καταπότια καὶ δίδου τριώβολον μεθ' ὕδατος ψυχροῦ κυάθων τριῶν. ἡ δὲ τοῦ δευτέρου γεγραμμένου φαρμάκου σύνθεσις ἔστιν ἥδε. Ꮔ μαστίχης Χίας λίτραν α ′ . τραγακάνθης λευκῆς λίτραν μίαν, μανδραγόρου ῥίζης τοῦ φλοιοῦ γο β ′ . κόψας καὶ σήσας ἀπόθου. ἐν δὲ τῇ χρήσει δίδου κοχλιάριον ἐπιπάσσων ὕδατος ψυχροῦ κυάθῳ ἑνί. μετὰ τὰς προγεγραμμένας δύο δυνάμεις ὁ Ἀσκληπιάδης οὕτως ἔγραψεν. πρὸς τὰς εἰλεώδεις τοῦ στομάχου ἀνατροπάς. εἰκάσειε δ' ἄν τις αὐτὸν εἰλεώδεις ὀνομάζειν τὰς ἰσχυράς, ὡς γὰρ ἐν τοῖς εἰλεοῖς ἔμετοι μετὰ σφοδρᾶς γίνονται συντονίας ὡς καὶ κόπρον ἐμεῖν, οὕτω καὶ τοὺς ἄλλους ἐμέτους, ὅσοι σύντονοί γέ εἰσιν, δύναιτ' ἄν τις εἰλεώδεις ὀνομάζειν ἔπονται δ' οὗτοι μεγάλως ἀνιαθεῖσι
13.149 τοῖς πάσχουσι μορίοις ὑπὸ φαρμακωδῶν ἰχώρων, ἐὰν δὲ καὶ ἀτονώτερά πως ᾖ, διπλασιάζεται τὸ κακόν. ἔσται δὴ διὰ τοῦτο τῆς ἰάσεως ὁ σκοπὸς ἅμα μὲν ἀνατιθέντων ἡμῶν τοῖς πάσχουσι μορίοις εὐώδεις ποιότητας, οἷαί περ αὐτῶν ἀρωμάτων εἰσὶ καί τινων ἐδωδίμων σπερμάτων, ὁποῖόν ἐστιν ἄνισόν τε καὶ σέλινον καὶ δαῦκος καὶ κύμινον καὶ σέσελι. κατὰ τοῦτο οὖν καὶ ὁ Ἱπποκράτης ἐπὶ τῶν πλευριτικῶν διδοὺς καθαῖρον φάρμακον, μιγνύναι τι τούτων ἐκέλευσε γράφων ὧδε. ἢν δὲ ὑπὸ φρένας εἴη τὸ ἄλγημα, εἰς δὲ τὴν κληῖδα μὴ σημάνῃ, μαλθάσσειν χρὴ τὴν κοιλίαν μέλανι ἐλλεβόρῳ ἢ πεπλίῳ, μέλανι μὲν δαῦκον ἢ σέσελι ἢ κύμινον ἢ ἄνισον ἢ ἄλλο τι τῶν εὐωδῶν μιγνύντας. φαίνεται γὰρ ἐν τούτοις τῆς εὐωδίας αὐτῶν μάλιστα δεόμενος εἰς τὴν μίξιν, ἕνεκα τοῦ τὸ φαρμακῶδες, ὅπερ ἐστὶν ἐναντίον ἀνθρώπου φύσει, παραμυθήσασθαί τε καὶ ἀμβλῦναι. καθάπερ γὰρ τὰ δυσώδη πάντα τὸν στόμαχον ἀνατρέπειν πέφυκεν, οὕτω τὰ εὐώδη ῥωννύναι. ἂν δὲ πρὸς τοῦτο καὶ τὸ ἐδωδίμοις αὐτοῖς εἶναι παρῇ, πολλαπλασίως ὠφελήσει τὸν ἀνατετραμμένον
13.150 στόμαχον ἐπὶ τῇ κακίᾳ τῶν ἰχώρων. κατὰ τοῦτον μὲν οὖν τὸν λογισμὸν

ἄνισόν τε καὶ σέλινον ἐνέμιξεν ὁ συνθεὶς τὸ προκείμενον φάρμακον, ἀψίνθιόν τε διότι ῥυπτικὸν πέφυκεν, καὶ ἀποσμῆχον καὶ ὑπάγον ὅσοι κατὰ τὸν στόμαχόν εἰσι μοχθηροὶ χυμοὶ συνάγειν τε καὶ σφίγγειν καὶ τόνον ἐπιτιθέναι τῷ μορίῳ. τὸ δὲ κιννάμωμον, ὡς ἐν ἅπασι τοῖς δυσώδεσι καὶ σηπεδονώδεσιν ἀντιτεταγμένον ἰχῶρσι, κατ᾽ ἄμφω τὰς ἑαυτοῦ δυνάμεις, ἀλλοιωτικήν τε καὶ διαφορητικὴν, οὐ μικρὰν γὰρ ἐκ τῆς εὐωδίας ὠφέλειαν παρέχει ταῖς κακαῖς ἁπάσαις διαθέσεσιν. ὄπιον δ᾽ ὀλίγον ἔμιξε τῷ φαρμάκῳ τὴν αἴσθησιν ἀμβλῦναι τοῦ στομάχου βουλόμενος, ᾧ λόγῳ καὶ τοῖς κοιλιακοῖς αὐτὸ δίδομεν, εἴτε καρώδη τινὰ ὕπνον ἐπενεγκεῖν δυνάμενον. ἐπανορθούμενος δὲ ὁ συνθεὶς τὸ φάρμακον τὴν ἐκ τοῦ ὀπίου σφοδρὰν ψύξιν, ἔμιξεν αὐτῷ τὸ καστόριον, ἀντιτεταγμένον πως αὐτοῦ τῇ δυνάμει. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὸ πέπερι μέμικται. περὶ δὲ τῆς σμύρνης ἄξιον ἐπιστῆσαι, καθ᾽ ὅσον γὰρ ἡ δύναμις αὐτῆς ἐστι πεπτικὴ τῶν παρὰ φύσιν καὶ μοχθηρῶν χυμῶν, κατὰ
13.151 τοσοῦτον προσηκόντως μέμικται· καθ᾽ ὅσον δὲ φαρμακώδης ἐστὶν, οὐ προσηκόντως, ἀλλ᾽ ἡ βραχύτης αὐτῆς εἰς μὲν τὴν πέψιν τι συντελεῖ, τὸ δὲ τῆς ποιότητος ἀλλόκοτον οὐκ ἐνδείκνυται νικωμένης ὑπὸ τῶν εὐόσμων. ἐγὼ γοῦν τὸ προκείμενον φάρμακον καὶ χώρις τῆς σμύρνης εἴωθα σκευάζειν, ἐπὶ τὸ ἀσφαλέστερον ἀεὶ πειοώμενος ἄγειν τὰς χρήσεις ἁπάντων τῶν φαρφάκων καὶ μάλισθ᾽ ὅταν ὀξέως πυρέττοντι δίδοταί τι τοιοῦτον. ὡς οὖν κιννάμωμον ἔχον τοῦτο τὸ φάρμακον καὶ σπέρματα θερμὰ καὶ διουρητικὰ καὶ πέπερι, καὶ πρὸς τούτῳ γε καστόριόν τε καὶ ὄπιον, ἐπὶ πολλῶν παθῶν εἰκότως ὠφέλιμον γίνεται, ποτὲ μὲν μετ᾽ οἴνου τινὸς τῶν εὐστομάχων διδόμενον, ὁποῖος ὁ πρότροπός ἐστι, ποτὲ δὲ μετὰ μύρτων ἀφεψήματος ὡς ἐπὶ δυσεντερικῶν, ἢ μετ᾽ ὀξυμέλιτος ὡς ἐπὶ σπληνικῶν. ἐπὶ δὲ χολέρας μετὰ ψυχροῦ, καθάπερ ὁ Ἀσκληπιάδης ἔγραψεν, ἀλλὰ προσδιορισάμενος, εἰ διψωδέστερός ἐστι νῦν ἢ πρόσθεν, ἢ ἄσης θερμῆς αἴσθησις αὐτῷ κατὰ τὸ στόμα τῆς κοιλίας, ἢ ψυχροπότης ἦν ὁπόθ᾽ ὑγίαινε. ἐγὼ τοῦτο τὸ φάρμακον ἐπὶ τὸ ἀσφαλέστερον ἄγων ἀφῆκά τε τὴν σμύρναν ηὔξησά τε τὴν τοῦ πεπέρεως ποσότητα. πλεῖστον δὲ
13.152 κιννάμωμον αὐτοῦ λαβόντος ἀναγκαῖον ἡμῖν ἐστιν, ὅταν ἀπορῶμεν κινναμώμου, κασσίαν τὴν ἀρίστην ἐμβάλλειν, ἤτοι πλείονα διπλῷ

σταθμῷ τοῦ κινναμώμου ἢ πάντως οὐκ ἐλάττονα. ἡ δ᾽ ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένη συμμετρία τῶν μιγνυμένων φαρμάκων ἐστὶν ἥδε κατὰ λέξιν.

Πρὸς τὰς εἰλεώδεις τοῦ στομάχου ἀνατροπὰς ὁ τῶν Ἀμαζόνων. ποιεῖ πρὸς ἐμπνευμάτωσιν, ἐγκαιομένοις καὶ ἐμοῦσι τὴν τροφήν. ποιεῖ καὶ πρὸς τὰς τῶν ἐντὸς διαθέσεις. ⁋ Σελίνου σπέρματος ‹ στ΄. ἀνίσου ‹ στ΄. ἀψινθίου ‹ δ΄. πεπέρεως ‹ β΄. σμύρνης ‹ β΄. κινναμώμου ‹ στ΄. ὀπίου ‹ β΄. καστορίου ‹ β΄. ἀνάπλαττε δι᾽ ὕδατος καὶ ποίει τροχίσκους καὶ δίδου τὴν τελείαν δόσιν ‹ α΄. στομαχικοῖς μετὰ προτρόπου κεραννυμένου κυάθων γ΄. χολερικοῖς καὶ ἐμοῦσι τὴν τροφὴν μετὰ ψυχροῦ, κολιακοῖς καὶ δυσεντερικοῖς μετὰ μύρτων ἀφεψήματος. τοῖς δὲ σπληνικοῖς μετ᾽ ὀξυμέλιτος θερμοῦ κυάθων γ′. ἄλλο φάρμακον ἐφεξῆς ἔγραψεν ὁ Ἀσκληπιάδης, οὐ μόνον πρὸς τὰς εἰλεώδεις τοῦ στομάχου διαθέσεις ἁρμόττειν ἐπαγγελλόμενος, ἀλλὰ καὶ πρὸς τοὺς ἐπιτεταμένους λυγμοὺς
13.153 καὶ τοὺς δι᾽ ἐγκαύσεως, ὅπερ ἐστὶ, πολλῆς θερμασίας αἰσθανομένους στομαχικούς. εἴρηται δέ μοι πολλάκις, ὡς ἔστιν ἀδύνατον εὑρεῖν φάρμακον εἰς πολλὰς διαθέσεις ἄριστον, εὑρίσκεται γὰρ ἑκάστης αὐτῶν ἕτερον ἴδιον ἄμεινον. ἀλλὰ τοῖς βουλομένοις ἓν ἔχειν φάρμακον πρὸς πολλὰ πάθη καὶ ἡ τούτων σκευασία καὶ παρασκευὴ χρήσιμος γίνεται. περιέχεται μέντοι καὶ ἀμφιβολία τις ἐν ταῖς τοιαύταις ἐπαγγελίαις τῶν φαρμάκων, ὁποίαν ὁ Ἀσκληπιάδης νῦν περὶ τοῦ προκειμένου πεποίηται. δόξουσι γὰρ ἴσως ἔνιοι τῶν ἀγνοούντων ἕκαστόν τε τῶν τριῶν συμπτωμάτων ἐπαγγέλλεσθαι θεραπεύειν, ἅμα τε δύο συνελθόντων καὶ πάνθ᾽ ὁμοῦ, καθάπερ ὅταν σπαράττηται σφοδρῶς ναυτιῶν ὁ κάμνων καὶ λύξῃ καὶ θερμασίας πολῆς καὶ ἀσώδους κατὰ τὸν στόμαχον αἴσθηται. καὶ περὶ πρώτης γε ἐρῶ τῆς τοιαύτης διαθέσεως, ἐφ᾽ ἧς ἅμα τρία παθήματα διοχλεῖ τὸν ἄνθρωπον, ἥ τε τῆς ἐγκαύσεως αἴσθησις ὅ τε λυγμὸς ἥ τε εἰλεώδης διάθεσις. Ἱπποκράτης μὲν οὖν σπασμὸν ἔφησε γίνεσθαι ὑπό τε πληρώσεως καὶ κενώσεως, καὶ πρόσκειται τῷ ἀφορισμῷ σχεδὸν ἐν ἅπασι
13.154 τοῖς ἀντιγράφοις, οὕτω δὲ καὶ λυγμός. ἐγὼ δὲ ἐπὶ τοῦ σπασμοῦ τρίτον αἴτιον παρὰ τὸ τῆς κενώσεως καὶ πληρώσεως οὐδὲν προσθεῖναι εὗρον. λυγμὸν δὲ ὁρῶ καὶ χωρὶς τούτων γιγνόμενον, ἐνίοτε δριμέων χυμῶν ἢ ἰχώρων φαρμακωδῶν δακνόντων τὸν στόμαχον, οὓς ἐὰν ἐμέσωσιν, εὐθέως παύονται λύζοντες, καὶ πολλοὶ τὸ διὰ τριῶν πεπέρεων φάρμακον

καταπιόντες, ἐὰν εὐθέως ἐπιπίωσιν οἶνον αὐτῷ, πάντως λύζουσιν· ὧν εἷς εἰμι κἀγὼ αὐτός. ἔτι δὲ καὶ τροφῆς διαφθαρείσης εἰς δακνώδη ποιότητα λύζουσιν ἔνιοι. καὶ ὅτι γε ἐμέσαντες παραχρῆμα παύονται, τῶν ἅπασι γινωσκομένων ἐστί. καὶ ῥιγώσαντες τὸ στόμα τῆς κοιλίας ἔνιοι λύζουσι, μάλιστα δὲ τοῖς παιδίοις συμβαίνει λύζειν συνεχῶς ἐπί τε διαφθορᾶς τῆς κατὰ τὴν γαστέρα τροφῆς καὶ ψύξει τοῦ μορίου. εἰ δὲ καὶ δι' ὑπερκένωσιν γένηται λυγμὸς, ὥσπερ καὶ σπασμὸς, ἄξιον σκέψεώς ἐστιν. ἀλλ' ἐὰν ἐν τῷ παρόντι καταλιπόντες ἄσκεπτον τοῦτο τοὺς διὰ ψύξιν ἢ πλῆθος σιτίων βαρυνομένους ἢ δριμύτητα δάκνουσαν ἐννοήσωμεν, ἔμετον μὲν
13.155 εὑρήσομεν αὔταρκες ἴαμα τῶν διά τι πλῆθος ἢ δῆξιν λυζόντων, θερμασίαν δὲ τῶν διὰ ψύξιν. ἑτέρῳ δὲ τρόπῳ καὶ τὴν τῆς αἰσθήσεως νάρκωσιν ἐπὶ τοῖς ψύχουσι καὶ τὴν ἀλλοίωσιν δακνόντων καὶ τὴν διαφόρησιν, ὑπὸ τῶν λεπτυνόντων τε καὶ ξηραινόντων. σύγκειται δὲ ἐκ τοιούτων τὸ φάρμακον. ὄπιον μὲν γὰρ καὶ ῥόδα καὶ ψυλλίου χυλὸς τῶν ψυχόντων ἐστὶ, νάρδου δὲ στάχυς καὶ χρυσοβάλανος τῶν διαφορούντων τε καὶ τονούντων, ἄσαρον δὲ τῶν ἐπ' οὖρα ποδηγούντων τὰς μοχθηρίας τῶν ὑγρῶν, ἡ δ' ἀλόη τῶν ἐκκαθαιρόντων τε τὴν κακοχυμίαν ἐστὶν, ἐκκενούντων τε διὰ τῆς κάτω γαστρός. ὁ δὲ κρόκος καὶ πέττει καὶ τονοῖ τὰ μόρια, καὶ τῷ μὲν εὐκράτῳ τῆς θερμότητος τὴν πέψιν ἐργαζόμενος, τῇ δὲ συνούσῃ στύψει τὸν τόνον. ὁ δὲ κόστος τῶν ἱκανῶς μὲν θερμαινόντων, μετρίως δὲ στυφόντων ἐστὶν, ὡς αὐτὸς ἐνδείκνυται τοῖς γευομένοις αὐτοῦ. ἐκ τούτων δὲ συγκείμενον τὸ φάρμακον ἐπιτήδειον μὲν τοῖς λύζουσίν ἐστιν, ἐπιτήδειον δὲ καὶ τοῖς σπαραττομένοις ἐμετικῶς, διὰ τοὺς κατὰ τὸ προγεγραμμένον εἰρημένους χυμοὺς, ἀλλ' οὐχ ὁμοίως
13.156 ἐκείνῳ μήτ' ἄλλο τι τῶν εὐωδῶν ἔχον μήτε κιννάμωμον. ἡ δὲ τῶν ψυχόντων ἐν αὐτῷ μίξις, ναρκῶσαι τὴν αἴσθησιν δυναμένη τῷ πραΰνειν τὴν ἐκ τῶν δακνόντων ἰχώρων τε καὶ χυμῶν ἀνίαν, ἐπιτήδειον ὄντως ἐργάζεται τὸ φάρμακον εἰς τὴν τῆς ναυτιώδους διαθέσεως μείωσιν. ἐπεὶ δὲ καὶ τοῖς ἐγκαιομένοις τὸν στόμαχον ἁρμόττειν ἔφησε τὸ φάρμακον· ἀνθίσταται δὲ τῷ λόγῳ τούτῳ ὁ θερμαίνων κόστος, ἄξιον εἰπεῖν καὶ περὶ τοῦδε. καθάπερ ἐν ταῖς κωλικαῖς καλουμέναις ἀντιδότοις, ὑπὸ δέ τινων ἀνωδύνοις, ὁποῖα καὶ ἡ τοῦ Φίλωνός ἐστιν. ὁ μὲν σκοπὸς τῆς συνθέσεως τοῦ φαρμάκου, ναρκῶσαι τῇ ψύξει τὴν αἴσθησιν τῶν ὀδυνωμένων. ὅπως

δὲ μὴ μετὰ μεγάλης βλάβης συμβαίνῃ τοῦτο, διά τε τοῦ βάθους τῶν ὀδυνωμένων σωμάτων ἡ ψύξις ταχέως διέλθῃ, μίγνυται τὰ θερμαίνοντα ποδηγοῦν δυνάμενα τὴν ἐκ τῶν ψυχόντων νάρκωσιν, ὡς ἂν ἐκείνων αὐτῶν καθ' ἑαυτὰ βραδυπόρων ὑπαρχόντων. ταῦτα οὖν προακηκοώς τις ἐπισκεπτέσθω τὴν ποσότητα τῶν μιγνυμένων ἐν ταῖς συνθέσεσι τῶν ἁπλῶν φαρμάκων. ἐκ ταύτης γὰρ εἴσεται εἴτε τι μᾶλλον ὧν ἐπαγάλλεται
13.157 τὸ σύνθετον φάρμακον ἐργάζεσθαι δυνατόν ἐστιν ἢ καί τι ἧττον εἰ μὲν γὰρ φαίνοιτο τὰ ψύχοντα πλείω τὴν αἴσθησιν τῶν πεπονθότων ἀμβλύνει μᾶλλον, ὅσον δὲ θερμασίας ᾖ ἐν τῷ μορίῳ, καὶ ταύτην σβέννυσι. τῶν θερμαινόντων δὲ αὐξηθέντων ἧττον μὲν ταῦτα ἐργάζεται τὸ φάρμακον ἀβλαβέστερον δὲ γίνεται. χρὴ γὰρ γινώσκειν ὑπὸ πάντων τῶν δι' ὀπίου καὶ ὑοσκυάμου καὶ μανδραγόρου φαρμάκων ὅμοιον τῇ νεκρώσει πάσχοντα τῶν ζώντων τὰ σώματα, τῶν ὀδυνώντων αἰτίων ἀναισθήτων γινομένων, καὶ πολλοὶ τῶν συνεχῶς τὰ τοιαῦτα λαμβανόντων εἰς ἀνίατον ψύξιν ἤγαγον τὰ μόρια· καθάπερ δὲ ἐπὶ τῆς τῶν ψυχόντων τε καὶ θερμαινόντων ἀντιθέσεως ἡ ποσότης ἑκατέρων ἐνδείκνυται τὴν ἐπικρατοῦσαν ἐνέργειαν τοῦ φαρμάκου, κατὰ τὸν αὐτὸν τρόπον κἀπὶ τῶν ἄλλων ἐννοεῖν προσῆκεν, οἷον πυκνούντων τε καὶ ἀραιούντων, ἢ συναγόντων καὶ χεόντων, ἢ εὐωδῶν τε καὶ δυσωδῶν, ἢ ὑγραινόντων τε καὶ ξηραινόντων διαφορούντων τε καὶ συνεχόντων. ὑπαγράψας οὖν
13.158 τούτοις τὴν τῶν μιχθέντων ποσότητα πρὸς τὰ συνεχῆ μεταβήσομαι, γράφει δὲ αὐτὴν ὁ Ἀσκληπιάδης αὐτοῖς ὀνόμασιν οὕτως.

Στομαχικοῖς ἐγκαιομένοις πρὸς ἐπιτεταμένους λυγμοὺς καὶ τὰς εἰλεώδεις τοῦ στομάχου διαθέσεις. ⁋ Κόστου ‹ δ′. ναρδοστάχυος ‹ δ′. χρυσοβαλάνων ‹ δ′. ῥόδων χλωρῶν ‹ δ′. μαστίχης δραχμὰς δ′. ἀλόης δραχμὰς β′. ἀσάρου δραχμὰς β′. ὀπίου δραχμὴν μίαν, ἀναλάμβανε ψυλλίου χυλῷ καὶ ἀνάπλαττε τροχίσκους καὶ δίδου τριώβολον. τὸ ὑγρὸν ἔστω κατάλληλον τῇ διαθέσει. ἐφεξῆς τοῖς προγεγραμμένοις τὴν ἔμπροσθεν ἤδη γεγραμμένην ἀντίδοτον, ἱερὰν δι' ἀλόης τε καὶ κινναμώμου συγκειμένην, ἐν τοῖς Ἀνδρομάχου φαρμάκοις καὶ αὐτὸς ἔγραψεν οὐ κατὰ τὴν αὐτὴν συμμετρίαν. ἔχει δὲ ἡ λέξις αὐτοῦ τόνδε τὸν τρόπον.

Ἀντίδοτος ἱερὰ Θεμίσωνος πρὸς τὰς τοῦ στομάχου ἀνατροπάς. ποιεῖ καὶ τοῖς καυσουμένοις καὶ πρὸς πᾶσαν ἐμπνευμάτωσιν καὶ βραδυπεψίαν καὶ πρὸς τὰς περὶ μήτραν διαθέσεις. ἔστι δὲ καὶ διουρητικὴ ἀγαθὴ καὶ καθόλου δύναμις θαυμαστὴ ὑδρωπικοῖς, νεφριτικοῖς, ἡπατικοῖς, κατάγει
13.159 καὶ γυναιξὶν ἔμμηνα. ⁋ Ἀλόης ⸂ ρ′. μαστίχης γο α′. κρόκου γο α′. νάρδου Ἰνδικῆς γο α′. κινναμώμου γο α′. καρποβαλσάμου γο α′. ἀσάρου γο α′. κόπτε, σῆθε λεπτοτάτῳ κοσκίνῳ καὶ φύλαττε ξηρὸν καὶ ἀδιάπνευστον. ἡ χρῆσις πρὸς μὲν τὰς βραδυπεψίας καὶ τοὺς οὕτως ὑγιαίνοντας ὁλκὴ μία μετὰ ψυχροῦ ὕδατος κυάθων δ′. τοῖς δὲ χολὴν ἐμοῦσιν ἢ ἄλλως πως ῥευματιζομένοις ὁλκῆς ἥμισυ. πρὸς δὲ τοὺς φλεγμαίνοντάς τι τῶν ἐντὸς ἁρμόσει μεθ᾽ ὑδρομέλιτος διδόμενον. ἐφ᾽ ᾧν δὲ οὖρα κινεῖν προαιρούμεθα ἢ ἔμμηνα κατάγειν, δίδομεν μετ᾽ οἴνου τὸ φάρμακον. ἔστι δὲ καταπαστόν. ταῦτα μὲν ἔγραψεν ὁ Ἀσκληπιάδης ὑπὲρ τοῦ προκειμένου φαρμάκου. σκεψώμεθα δὲ πρῶτον μὲν ἐν τοῖς περὶ τῆς ποσότητος τῶν συνθέντων αὐτὴν φαρμάκων, ᾗ συνεφώνησέν τε καὶ διεφώνησεν, εἶθ᾽ ἑξῆς περὶ τῆς ἐπαγγελίας τε καὶ χρήσεως αὐτῆς. ἐν μὲν δὴ τῇ μίξει τῶν φαρμάκων συνεφώνησαν ἀλλήλοις ὅ τε Ἀνδρόμαχος καὶ ὁ Ἀσκληπιάδης ἐν τῷ τῆς ἀλόης ρ′. ἐμβάλλειν δραχμάς. διεφώνησαν δὲ ἔν τε τῷ τὸν
13.160 Ἀσκληπιάδην ἁπλῶς ἀλόης γράψαι, τὸν δὲ Ἀνδρόμαχον τὸ πεπλυμένης προσθεῖναι, κἀν τῷ τὸν Ἀσκληπιάδην τῶν ἄλλων οὐγγίας μῖξαι, τουτέστιν ὁλκὰς ἢ δραχμὰς ἀργυρὰς η′. ἢ ἑπτὰ ἥμισυ, ἓξ δὲ τὸν Ἀνδρόμαχον. ἔτι τὸ καθόσον μὲν ὁ Ἀσκληπιάδης βαλσάμου καρπὸν, ὁ δ᾽ Ἀνδρόμαχος ξυλοβάλσαμον ἐμβάλλει καὶ πρὸς τούτοις, ὅτι μηδ᾽ ὅλως ὁ Ἀσκληπιάδης τὸ ἄνθος τοῦ σχοίνου μίγνυσι, κατὰ δὲ τὴν ἐπαγγελίαν τῶν ἔργων τοῦ φαρμάκου τῷ μὲν Ἀνδρομάχῳ πλέον οὐδὲν γέγραπται τοῦ δίδοσθαι τισὶ μὲν ἓν κοχλιάριον, τισὶ δὲ δύο μεθ᾽ ὕδατος ψυχροῦ κυάθων δ′. ἢ θερμοῦ. τῷ δ᾽ Ἀσκληπιάδῃ πλείω περὶ τῆς χρήσεως εἴρηται τῆς προκειμένης ἀντιδότου. πρὸς μὲν γὰρ τὰς δυσπεψίας τῶν ὑγιαινόντων κελεύει δίδοσθαι μίαν ὁλκὴν μεθ᾽ ὕδατος ψυχροῦ κυάθων δ′. ἡγοῦμαι δὲ λέγειν αὐτὸν δραχμὴν ἀργυρᾶν καὶ γὰρ οὕτω σχεδὸν ἅπασι τοῖς νεωτέροις ἰατροῖς ἔθος ὀνομάζειν. ἄλλο δὲ νοεῖν ἡμᾶς οὐδὲν ἡ τοῦ πράγματος φύσις ἀναγκάζει. πρόδηλον δ᾽ ὅτι δραχμὴν λέγομεν νῦν ἐν τοῖς τοιούτοις ἅπαντες ὅπερ Ῥωμαῖοι δηνάριον ὀνομάζουσιν. ἀλλ᾽ ἐπί γε

13.161 τῶν βραδυπεπτούντων οὐχ ἁπάντων ἁρμόσει διδόναι τὸ φάρμακον, ἀλλ᾽ ἐπ᾽ ἐκείνων μόνον, ἐφ᾽ οἷς ἐπὶ χυμοῖς μοχθηροῖς γίνεται τοῦτο, μᾶλλον δ᾽ ὅταν ὦσι λεπτοὶ καὶ χολώδεις. ποιήσει δ᾽ ἄν τινα ῥᾳστώνην καὶ τοῖς ἄνευ χυμῶν τὴν ὑγρὰν δυσκρασίαν ἔχουσιν, ἐπὶ τοσοῦτον διαβεβρωκυῖαν τὸ πεπονθὸς μόριον, ὡς ἐκλύεσθαι καὶ χαλᾶσθαι παραπλησίως τοῖς συνδετικοῖς καλουμένοις νεύροις ἐπὶ τῶν κεχαλασμένων ἄρθρων. ἐπὶ μέντοι τῶν χολὴν ἐχόντων ἐν τῇ κοιλίᾳ, μάλιστα ἐφ᾽ ὧν ἐν αὐτοῖς τοῖς χιτῶσι διὰ βάθους περιέχεται, κάλλιον φάρμακον οὐκ ἂν εὕροις. ἀλλ᾽ οὐκ οἶδα ὅπως ὀλίγον αὐτοῦ δίδωσιν ὁ Ἀσκληπιάδης, τῆς συμμέτρου δόσεως εἰς ‹ στ΄. ἐξισούσης. πρὸς δὲ τοὺς φλεγμονήν τινα ἔχοντας οὐχ ἁπλῶς δοτέον ἐν παντὶ καιρῷ τῆς φλεγμονῆς, ἀλλ᾽ ὅταν πεφθῇ τε καὶ παρακμάσῃ, πέπονα γὰρ φαρμακεύειν ἀξιοῖ καλῶς ὁ Ἱπποκράτης, μὴ ὠμὰ, μηδ᾽ ἐν ἀρχῇσιν, εἰ μὴ ὀργᾷ, τουτέστιν εἰ μὴ πρὸς τὴν ἔκκρισιν ἐπείγοιτο ἡ κίνησις καὶ μήπω μηδεμίαν ἔχουσα πρὸς ἓν μέρος ἑδραίαν ῥοπήν τε καὶ στάσιν. ὀρθῶς δὲ τὸ φάρμακον τοῦτο τοῖς μὲν
13.162 βραδυπεπτοῦσι καὶ τοῖς χολὴν ἐμοῦσιν ἢ ἄλλως πως ῥευματιζομένοις τὸν στόμαχον, ἐπιπάττων ὕδατος κυάθοις τέσσαρσι, δίδωσι, τὴν ἐκ τοῦ μέλιτος ἀνατροπὴν προσγινομένην τῷ στομάχῳ δεδιώς. πρὸς δὲ τὰς παρακμὰς τῶν ἔνδον φλεγμονῶν μεθ᾽ ὑδρομέλιτος ὡραίως ἄν τις διδοῖ τοῦτο. καθάπερ καὶ κινεῖν οὖρα προαιρούμενος ἢ ἔμμηνα κενοῦν ὁ μὲν Ἀσκληπιάδης φησὶ μόνον δι᾽ οἴνου. βέλτιον δ᾽ ἂν, ὡς ἐγώ φημι, ποιεῖ τις, εἰ δι᾽ οἰνομέλιτος διδοῖ τὸ φάρμακον. οὕτω γὰρ ἅμα τε τὰ κατὰ τὴν ἐκ τῆς κοιλίας ἀνάδοσίν τε καὶ φορὰν ἐπ᾽ οὖρα καὶ τὰ κατὰ τὰς μήτρας ἐνιστάμενα διαλύει καὶ τέμνει καὶ ῥώμην τοῖς μορίοις παρέχει δι᾽ ὧν ποιεῖται τὴν πορείαν. ἔτι τε τὴν θερμασίαν αὔξει τῶν τόπων δι᾽ ὧν φέρεται, συντελοῦσαν καὶ αὐτὴν οὐ σμικρὰ πρός τε τὴν χύσιν τῶν ἐνισταμένων ὑγρῶν καὶ τὴν κένωσιν. μετὰ δὲ τὴν προγεγραμμένην ἱερὰν Θεμίσωνος ἀντίδοτον ὁ Ἀσκληπιάδης ἑτέραν οὕτως ἔγραψεν· ἄλλη ἐκ τῶν Μαντίου δυνάμεων Ἀτταλική. ποιεῖ στομαχικοῖς καὶ ἀπορρίπτουσι τὴν τροφὴν, ποιεῖ χολερικοῖς, κοιλιακοῖς, δυσεντερικοῖς. τὰ δὲ τῆς
13.163 σκευασίας ἔχει οὕτω. ℈ κρόκου ‹ β΄. νάρδου ‹ β΄. ὑοσκυάμου σπέρματος ‹ α΄. ἀλόης γο α΄. βαλαυστίου γο α΄. τραγακάνθης γο α΄. πεπέρεως λευκοῦ γο α΄. ἀκακίας γο α΄. ῥήου Ποντικοῦ γο α΄. ῥοὸς Συριακοῦ τοῦ ἐπὶ τὰ ὄψα

γο α′. ῥόδων χυλῷ ἀφεψημένων ἐν οἴνῳ αὐστηρῷ ἀναλαβὼν, ποίει τροχίσκους ἀνὰ ‹ α′. τὴν δὲ τραγάκανθαν προεμβρέξας τῷ χυλῷ ἕνου. τοῦτο τὸ φάρμακον οὐδὲν ἔοικε τῷ προγεγραμμένῳ, καθαρτικὸν μὲν γὰρ ἐκεῖνο, στυπτικὸν δὲ τοῦτό ἐστιν, ἁρμόττον τοῖς δι᾽ ὑγρότητα πολλὴν ἔκλυτόν τε καὶ χαλαρὸν ἔχουσι τὸν στόμαχον ἢ καὶ σύμπασαν τὴν γαστέρα, καθάπερ κἀν τοῖς ἄρθροις τὰ χαλάσματα γίνεται, διαβραχέντων ὑγρότητι πολλῇ τῶν ἐν αὐτοῖς συνδέσμων, ἃ τοῖς πλείστοις τῶν ἰατρῶν ἔθος ἐστὶν ὀνομάζειν συνδετικὰ νεῦρα· πολλαὶ γὰρ τοιαῦται διαθέσεις ἔν τε τῇ γαστρὶ καὶ τῷ στομάχῳ γίνονται τοῖς πολυποτοῦσι καὶ δαψιλῶς ὀπώρας ὑγραινούσας ἢ ὅλως ἐδέσματα τοιαύτης κράσεως προσενεγκαμένοις. πολλῶν οὖν ὄντων τῶν οὕτω διῃτημένων, εὐλόγως καὶ τὰ τῆς προειρημένης διαθέσεως φάρμακα πλειστάκις εὐδοκιμεῖ τὴν
13.164 στύψιν ἐπικρατοῦσαν ἔχοντα. ἔνθα δὲ ἤτοι κακοχυμίας ἐκκενῶσαι προσῆκεν ἢ θερμῆναι τὸ πεπονθὸς μόριον, οὐ μόνον οὐδὲν ὀνίνησιν ἡ τῶν οὕτω στυφόντων φαρμάκων χρῆσις, ἀλλὰ καὶ βλάπτει. μετὰ γὰρ τὸ προγεγραμμένον φάρμακον ἑτέρων δυοῖν ὁ Ἀσκληπιάδης μέμνηται καλῶν ἑκατέρων αὐτῶν. σύγκειται δὲ ἐκ πολλῶν ἀμφότερα καὶ διὰ τοῦτό ἐστι πολύχρηστα, καὶ μᾶλλόν γε τὸ δεύτερον. ὅτι δέ ἐστι τοιοῦτον, οἷον εἶναί φησιν αὐτὸ, τῶν ἁπλῶν ἐν αὐτῷ φαρμάκων ἀναμιμνησκομένοις ἡμῖν, ὁποῖόν ἐστιν ἕκαστον, ἀκηκοόσι τε περὶ τῆς κατὰ τὴν σύνθεσιν αὐτῆς μεθόδου, δυνατὸν ἔσται κρίνειν καὶ αὐτοῖς.

Ἀστὴρ στομαχικός. ποιεῖ ἀποξύνουσι τὴν τροφὴν, στροφουμένοις, καταρροϊκοῖς, κεφαλαλγικοῖς, αἱμοπτυϊκοῖς, φθισικοῖς, ποιεῖ καὶ πρὸς τὰς περὶ κύστιν ἢ μήτραν διαθέσεις. ἡ δὲ σκευασία ἔχει οὕτως. ⳋ Μανδραγόρου χυλοῦ ‹ δ′. σμύρνης ‹ δ′. βαλαυστίου ‹ δ′. καστορίου ‹ δ′. κρόκου ‹ δ′. ὀπίου ‹ στ′. ἀνίσου ‹ η′. σελίνου σπέρματος ‹ η′. στύρακος ‹ η′. ὑσσώπου Κρητικοῦ ‹ ιβ′. ὑοσκυάμου λευκοῦ σπέρματος ‹ ιβ′. συντίθει
13.165 κατὰ τρόπον καὶ ἀνάπλαττε τροχίσκους καὶ δίδου πρὸς δύναμιν. τὸ δ᾽ ὑγρὸν ἔστω κατάλληλον τῇ διαθέσει. ἀστὴρ ἀνίκητος, φάρμακον ἐπιτετευγμένον ἀνώδυνον, ὑπνοποιὸν, πολύχρηστον. καὶ γὰρ τὰ περὶ τὸν στόμαχον ἰᾶται νοσήματα θαυμαστῶς, ὀξυρεγμίας καὶ δυσπεψίας ἀπαλλάττει, στρόφους, λυγμοὺς, ἐμπνευματώσεις. ποιεῖ καὶ πρὸς τὰ τῆς κεφαλῆς ἀλγήματα πινόμενον τὸ φάρμακον καὶ ἔξωθεν καταχριόμενον

κατὰ τοῦ μετώπου ὄξει ἀνεθέν. ποιεῖ καὶ πρὸς ὠταλγίαν περδικίου χυλῷ ὁ τροχίσκος ἀνεθείς. ποιεῖ καὶ πρὸς ὀδονταλγίαν τῷ βρώματι ἐντιθέμενος, λεανθεὶς καὶ χαλβάνῃ ἀναληφθεὶς ἢ συκῆς ὀπῷ. ποιεῖ καὶ πρὸς τὰς τῶν ὀφθαλμῶν ἐπιφορὰς καὶ τὰς τῶν παρισθμίων φλεγμονὰς, οἴνῳ γλυκεῖ ἀνεθεὶς, ὥστε ἐπὶ μὲν τῶν ὀφθαλμῶν τὸ ἔριον ἐμβρέχοντας ἐπιτιθέναι. τοῖς γὰρ τὰ παρίσθμια πεπονθόσιν χλιαίνοντας παραίνει ἀναγαργαρίζεσθαι. ποιεῖ δὲ καὶ πρὸς πᾶσαν αἵματος φορὰν ἀνεθεὶς οἴνῳ μυρτίτῃ, ποιεῖ καὶ πρὸς βῆχας χρονίους καὶ προσφάτους καὶ κατάρρους διαλυθεὶς οἴνῳ Θηραίῳ ἢ προτρόπῳ ἢ Σκυβελίτῃ. ποιεῖ καὶ φθισικοῖς, ἐμπυϊκοῖς, διαλυθεὶς πρασίου ἀφεψήματι. ποιεῖ αἱμοπτυϊκοῖς,

13.166 δυσεντερικοῖς, χολερικοῖς, χυλῷ πολυγόνου διαλυθεὶς καὶ πρὸς παντὸς ἑρπετοῦ πληγὴν ποθεὶς μετὰ πηγάνου ἀφεψήματος. λύει καὶ τὰς κατὰ περίοδον ἐπισημασίας, πινόμενος πρὸ δυοῖν ὡρῶν τῆς ἐπισημασίας μετ᾽ οἴνου κεκραμένου κυάθων γ′. καὶ ἔμμηνα γυναιξὶ κατάγει διαλυθεὶς ἀρτεμισίας ἀφεψήματι. ποιεῖ καὶ πρὸς τὰς περὶ κύστιν διαθέσεις, οἰνομέλιτι διαλυθεὶς, ὁμοίως καὶ ταῖς ὑστερικαῖς πνιγομέναις βοηθεῖ. ποιεῖ ἀρθριτικοῖς, ποδαγρικοῖς, γεντιανῆς ἀφεψήματι διαλυθείς. καὶ περὶ μὲν τούτων διαπράττεται ἐπὶ τοσοῦτον. τὰ δὲ τῆς συνθέσεως οὕτως ἔχει. ℈ σμύρνης ⸉ δ′. στύρακος ⸉ δ′. νάρδου Ἰνδικῆς ⸉ δ′. κασσίας σύριγγος ⸉ δ′. σφραγῖδος Λημνίας ⸉ δ′. μανδραγόρου φλοιοῦ ⸉ δ′. ἐν ἄλλῳ καὶ πεπέρεως ⸉ δ′. κρόκου ⸉ στ′. ὀποῦ μήκωνος ⸉ στ′. δαύκου Κρητικοῦ σπέρματος ⸉ η′. ἀνίσου ⸉ η′. σεσέλεως Μασαλεωτικοῦ ⸉ η′. σελίνου σπέρματος ⸉ η′. τὸ σμύρνιον καὶ τὸ στυράκιον καὶ τὸ ὄπιον οἴνῳ διαλύεται εὐώδει καὶ λεαίνεται. τὰ δὲ ξηρὰ κόπτεται καὶ σήθεται, εἶθ᾽

13.167 ὁμοῦ μίγνυται καὶ φυρᾶται καὶ ἀναπλάττομεν τροχίσκους ὁλκῆς ἄγοντας ἥμισυ καὶ ξηραίνομεν ἐν σκιᾷ. ἡ χρῆσις δεδήλωται. ἐν ἄλλοις τῶν τροχίσκων ἡ ὁλκὴ ἀνὰ ⸉ α′.

Τὰ ὑπ᾽ Ἀρχιγένους γεγραμμένα ἐν τῷ πρώτῳ τῶν κατὰ γένος φαρμάκων περὶ τῶν κατὰ τὸν στόμαχον παθῶν. Τῶν δὲ περὶ τὸν στόμαχον παθῶν πολλῶν καὶ ποικίλων ὄντων, καὶ τούτων σχεδὸν ἁπάντων ὡς ἐπίπαν ἐξ ἀπεψίας γινομένων, παντὶ σθένει αὐτὸν ἐπισκεπτέον. εἰ μὲν δὴ ὑδάτων ἢ ἀέρος κακία δείκνυται, ὡς μάλιστα ἐπιδέχεται μεθοδεύοντας, ταῦτα ἀλλάσσοντας ἀπαλλάττειν· εἰ δὲ ἀσυνήθων βρωμάτων, παραιτουμένους

ταῦτα· εἰ δὲ διὰ πλῆθος, συστέλλοντας τὰ σιτία καὶ καθόλου ἐξ οὗ ἂν ὑπονοήσωμεν γίνεσθαι, τοῦτο παραιτουμένους. εἰ δὲ πάντα τὰ εἰρημένα εὐτακτοίη, παρ' αὐτὸν δὲ τὸν στόμαχον τὰ κατὰ τὰς πέψεις παραποδίζοιτο, ἀλείμμασι καὶ γυμνασίοις ἀναφωνήσεσί τε καὶ τοῖς τοιούτοις ὁμοίοις γινομένοις τὸν στόμαχον ῥωστέον. τοῖς δὲ ὀξυρεγμιώδεσι κοριάνου ὡς κοχλιάριον δίδου πρὸ ἑτέρου τῶν σιτίων
13.168 τρώγειν καὶ ἐπιρροφεῖν ἄκρατον. γενομένης δὲ ἀπεψίας μετρίας ποτὲ καὶ εὐκαταφρονήτου πλείονα χρόνον ἐπὶ τῆς κλίνης ἠρεμητέον. εἰ δὲ μὴ τὰ πράγματα ἐπιτρέποι, ἐφ' ὅσον ἐνδέχεται, πᾶσαν διάτασιν καὶ κόπον, ἔτι τε καῦμα καὶ ψῦχος καὶ θυμὸν ἐκφευκτέον. ὀψιαίτερον δὲ τῆς συνήθους ὥρας ἐν ζεστῷ λουστέον. ἔν τε τῷ προβαλανείῳ χλιαρὸν ὕδωρ πιόντες ἀπερευγέτωσαν πάντα τὰ εἰς τὸν στόμαχον συναθροισθέντα φλέγματα, ὀλιγοσιτίᾳ τε καὶ ὀλιγοποσίᾳ τῇ πρώτῃ χρήσθωσαν εἰ δ' εὔτονος ἡ φθορὰ τῶν σιτίων γένοιτο, δάκνοιντό τε τὸν στόμαχον καὶ ἐρεύγοιντο αὐτὰ, ἔτι τε ναυτοῖεν, χλιαρῷ ποτίσας ἀνάγκαζε ἐξερᾶν, μέχρι πᾶν τὸ διέφθορον καθαρισθῇ, εἶτα ἐμβρέξας τὴν κεφαλὴν λιπαροῖς ὀθονίοις παρὰ πυρὶ θερμανθεῖσιν ἢ τοιαύτῃ τινὶ ἀπεριέργῳ ἀγωγῇ, πυρία τὰ περὶ τὸν στόμαχον καὶ ὑποχόνδρια παρηγορήσας τά τε ἄκρα λιπαρὰ ψηλαφίᾳ ἢ καὶ κατειλησίᾳ λεάνας, ἐπὶ τοῦ κλινιδίου ἠρεμεῖν ἐάσεις ἀσιτήσαντάς τε ἐξ ὅλου τῇ ἑξῆς, εἰ μηδὲν ἐπακολουθήσειεν ἄτοπον. εὐτονοῦντας μὲν, ὡς
13.169 προείρηται, λούσας ἐπιμελοῦ· εἰ δ' ἀτονοῖεν, συμμέτρως ἐπὶ μίαν ἀναλαβὼν τῇ ἑξῆς λοῦε, παραινῶν μέχρι τριῶν ἡμερῶν ἐν ταῖς τροφαῖς καὶ τοῖς πότοις μετριάζειν. ἀπεψίας μὲν οὖν τοιαύτη τις, ὡς τύπῳ εἰπεῖν, ἡ ἐπιμέλεια. περὶ δὲ τῶν ἐξ αὐτῆς ἀποβαινόντων, οἷον διαρροίας ἢ χολέρας ἢ τῶν τοιούτων, ἐν ἰδίῳ τόπῳ εἰρήσεται. ἐπὶ δὲ τῶν ἄλλων τῶν περὶ τὸν στόμαχον δυσχερειῶν, τοῖς μὲν καυσουμένοις τὸν στόμαχον μετ' ἐκλύσεως ἢ λειποθυμίας ἤ τινος ἀνορεξίας ἐξ οἱασδηποτοῦν αἰτίας, ὅτι μὴ πυρετοῦ, κυάθους τρεῖς ἢ τέτταρας δίδου ψυχροῦ ὕδατος καταρροφεῖν δὶς ἢ τρὶς ἐκ διαλειμμάτων. καὶ εἰ μὲν παρηγοροῖντο, τούτῳ αὐτοὺς ἀνακτησάμενος ὡς τροφῇ καὶ τοῖς ἄλλοις ἀναλάμβανε. εἰ δ' ἐπιμένοι, διακρατουμένων καὶ διαλεαινομένων τῶν ἄκρων, ἀπόβρεγμά τι τῶν τοιούτων συνεχῶς καταρροφεῖν δίδου, οἷον φοινικοβαλάνων, μήλων κυδωνίων, ἀπίων, μεσπίλων, ἀρκευθίδων, ἑλίκων ἀμπέλου, ῥόδων, ῥοιᾶς

ἀπυρήνου χυλὸν ἢ στροβίλους κ′. καὶ σικύου σπέρματος κόκκους κε′.
13.170 μύρτων κ′. κρόκου ὀβολοὺς β′. ῥόδων δυοῖν φύλλα μεθ’ ὕδατος δίδου πίνειν. ἢ ψυχρὸν ὕδωρ δίδου μετ’ ὀμφακίου χυλοῦ, ἢ ῥόδων ἄνθος μετὰ νάρδου καὶ ὕδατος ψυχροῦ, ἢ ἀνδράχνης σπέρματος προσμιγέντος ἢ ἀτραφάξιος σπέρματος ἢ μήλων κυδωνίων ἀφεψήματος. ἢ σικύων σπερμάτια ν′ λεῖα ἐκ ψυχροῦ δίδου. ἢ ὄρυζαν ἐψήσας μετὰ βουτύρου δίδου φαγεῖν. ἢ τραγορίγανον λείαν μεθ’ ὕδατος χυλίσας δὸς φαγεῖν. ἢ κυάμους Αἰγυπτίους ι′. καὶ νάρδου Κελτικῆς ὀβολοὺς δύο, φρύξας ἀμφότερα καὶ λεάνας δίδου πιεῖν. ἐπιπάσας ῥόας ὀξείας καὶ γλυκείας χυλοῦ καὶ ὕδατος ἑκάστου ἴσον. ἢ κλώνιον ἡδυόσμου συλλεάνας δὸς πίνειν. ἢ οἰνάνθην ὁμοίως τρίψας μετὰ νάρδου Ἰνδικῆς δὸς πιεῖν. ἢ φακοὺς ἐψημένους λείους δίδου μεθ’ ὕδατος. ἢ φοινικοβαλάνους μετὰ ῥόδων. ἢ πρασίου χυλὸν μετὰ μέλιτος καὶ βραχὺ ἡσυχάσασιν δίδου οἶνον μετὰ ἀλφίτου. ἢ καρδαμώμου δραχμὴν μίαν μετὰ ὀξυμέλιτος κυάθων τριῶν ποτίσας, σύγχριε καὶ ἄφες ἠρεμεῖν. τοῖς δὲ σιελίζουσι ξηρὰν
13.171 κόνυζαν δίδου μασᾶσθαι. ἐπιθετέον δὲ ἔξωθεν ἐπὶ τὸν στόμαχον ἀμπέλου φύλλα χλωρὰ λεῖα ἢ μῆλα κυδώνια ἢ φοινικοβαλάνους ἢ μέσπιλα μετὰ κηρωτῆς, ἢ μυρσίνης ἁπαλὰ φύλλα ἢ βάτου ἢ σχίνου λεῖα μετὰ πάλης ἀλφίτου ψυχρῷ πεφυραμένου. ἢ χλωρὰν ἀνδράχνην ὁμοίως ἐσκευασμένην, ἢ τυρὸν ἁπαλὸν νεαρὸν μετ’ ἀλφίτου καὶ σελίνου φύλλων, ἢ σέρεως φύλλα μετ’ ὄξους καὶ ἀλφίτων καὶ σελίνου φύλλων. πυρουμένων δὲ εὐτόνως φῦσαν πληρωθεῖσαν ὕδατος ἐπιτίθει, ἢ χιόνα ἐπίβαλλε, ἢ τῶν κολοκύνθων τὰ ξύσματα ἐπιτίθει καὶ καθόλου πάντα ὅσοις ἐπὶ τῶν καρδιακῶν χρώμεθα. τὰ δὲ ἀλγήματα τοῦ στομάχου πραΰνει καὶ μάλιστα ἐφ’ ὧν δυσθυμία τις ἢ ἀπορία παρέπεται, γάλα ὄνειον ἢ γυναικεῖον ἢ βόειον, κοχλάκων ἐναφεψημένων πινόμενον, ἢ νάρδινον μύρον ἢ τῶν λίαν πολυτελῶν δίδου μεθ’ ὕδατος, ἢ ἀπόζεμα σχοίνου ἄνθους, ἢ καὶ ῥόδων ἄνθους ἐπιπασσομένου, ἢ ἀνδράχνης χυλὸν, ὁτὲ μὲν καθ’ αὑτὸν, ὁτὲ δὲ μετὰ τῆς νάρδου ἢ ὠοῦ λέκιθον πεφρυγμένην καὶ ἀληλεσμένην μετὰ ἀλφίτων πότιζε, ἢ κάρυα πικρὰ
13.172 μετὰ σικύου σπέρματος καὶ στροβίλου, ἢ λαπάθου ἀγρίου σπέρματος τριώβολον πότιζε. πάντα τὰ κατὰ τὸν στόμαχον ἀλγήματα καὶ δυσαρεστήματά φασι παύειν κοχλίαν ὠμὸν Λιβυκὸν καταπινόμενον

ὅλον. ἀναλυομένου δὲ αὐτοῦ μόνου καὶ ναυτιώδους τοῦ στομάχου γινομένου, θρίδακος λευκῆς σπέρματος ὀλίγον μεθ᾽ ὕδατος κυάθων τεσσάρων ἢ ἑνὸς πιεῖν δίδου, ἢ στρουθῶν ἀφόδευμα ξηρὸν ἐπιπάσσων, ὡς ἄλφιτον, εἶτα ὕδωρ πίνοιεν, εἶτα οἶνον, ἢ μαστίχης Χίας κοχλιάριον μετὰ ψυχροῦ ὕδατος, ἢ ἀπὸ πάγου νήστει καθ᾽ ἡμέραν δίδου καὶ μασώμενοι αὐτὴν συνεχῶς τὸν σίελον ἀποπτυέτωσαν. ἢ κόνυζαν ξηρὰν μασάσθωσαν. εἰ δὲ πρὸς τῷ πλάδῳ καὶ φλεγμονή τις εἴη, οἰνάνθην σὺν μελιλώτῳ ἢ ῥόδον ξηρὸν μετὰ κηρωτῆς ῥοδίνης, ὀλίγον ἐχούσης ῥητίνης ἀποκεκαυμένης ἐπιτίθει, ἢ ἀκακίας καὶ στυπτηρίας μηλείας ἴσα, κηρωτῆς τῷ διπλῷ ἀναλαβὼν, ὡς μάλαγμα ἐπιτίθει. ἐπὶ δὲ τῶν χολὴν μέλαιναν γεννώντων καὶ φυσωμένων τὸν στόμαχον ἐπιτίθει τῷ στομάχῳ καὶ μάλιστα ἐν ταῖς ἐπιτάσεσι, σπόγγους ὄξει δριμυτάτῳ θερμῷ βεβρεγμένους. μετὰ δὲ τούτους εἰ ἐπιμένοιεν, στυπτηρίαν ὑγρὰν μετὰ
13.173 χαλκάνθου λείου μέλιτι ἀναλαβὼν ἐπιτίθει, ἢ ταῦτα καὶ ἀλόην ἴσην μίξας αὐτοῖς, κηρωτῇ μυρσίνῃ ἀναλαβὼν ἐπιτίθει, ἢ κισσοῦ φύλλοις ἑφθοῖς ἐν οἴνῳ κατάπλασσε, ἢ ἀρνογλώσσου μετὰ ἀλῶν τριβέντα, ἢ ἀγελαίας βοὸς βόλβιτον ξηρὸν ἑψημένον ἐν οἴνῳ, ἢ πρασίῳ μετὰ ἄρτου καὶ ῥοδίνου φυραθέντι, ἢ βολβοῖς πυρροῖς καὶ στυπτηρίας ἴσης. μετὰ δὲ ταῦτα ποτιστέον αὐτοὺς τῇ τε ἀπυρέτῳ λεγομένῃ ἢ τῇ ἱερᾷ ἀντιδότῳ ἤ τινι ἄλλῃ, ἥτις ἑκάστῳ διὰ πείρας. τροφὰς δ᾽ ἁρμοδίους τοῖς στομαχικοῖς τάσδε δοτέον· τεῦτλον, φακὴν, τράγον, ὄρυζαν, χόνδρον, ἐγκαθεψημένων μήλων κυδωνίων ἢ φοινικοβαλάνων ἢ μεσπίλων ἢ ῥοᾶς ἀπυρήνου κόκκων ἢ μηλαπίων ἢ σχίνου κλωνίων ἁπαλῶν, ἢ σμύρνης ἢ βάτου παραμιγνυμένων, ἄρτον δὲ ἀκρόζυμον ἢ ἄζυμον. τῶν δὲ λαχάνων τῶν μὲν ὠμῶν κιχώρια, μηκωνίδες, ἠρύγγιον, ἴντυβον ἢ γιγγίδιον, σέρις, θρίδακες· τῶν δὲ ἑφθῶν εὐθετεῖ μάλιστα κράμβη καὶ σίσαρον. τῶν δὲ λοιπῶν ἀφεψημάτων κοχλίαι καὶ βολβοὶ, κρεῶν δὲ
13.174 γαστὴρ, ῥύγχη, πόδες, κίχλαι, πέρδικες, ἀτταγῆνες, τρυγόνες, φάσσαι, νῆσσαι, λαγωοὶ, δορκάδες, ὀψαρίων δὲ καρίδες, ἀστακοὶ, κολύμβαιναι, κάραβοι, τευθίδες, σηπίαι καὶ τῶν σκληροσάρκων τρίγλαι, τῶν δὲ ὀστρακωδῶν μάλιστα μὲν κήρυκες, πορφύραι, κτένες, γλαῦκοι, σμαρίδες, βάλανοι. τὸ δὲ σίσαρον ἐπὶ πᾶσι λαμβανόμενον καὶ ὡς εὐστόμαχον πρὸς τὰς ἀναλήψεις κατὰ τὰ πλεῖστα τῶν περὶ τὸν στόμαχον συμπτωμάτων

συμφωνεῖ. πόμα δὲ ὁ ὑφ᾽ ἑκάστου πινόμενος ἡδέως οἶνος. τοὺς δὲ πνευματουμένους καὶ διατεινομένους τὸν στόμαχον πολίου δεσμίδιον καθέψων πότιζε. ἢ καλαμίνθης ἀφέψημα ἐξηθριασμένου τοῦ ὕδατος, μίξας ὀλίγον μέλιτος καὶ πεπέρεως δραχμὴν μίαν δίδου. ἢ σπόγγον ὄξει δριμυτάτῳ βρέξας τοῖς ποσὶ καὶ τοῖς βραχίοσιν ἐπιτίθει, μέχρι φλυκταινώσεως μάλιστα, εἰ καὶ ἀπεροῖεν τὰς τροφάς. ἢ τήλινον ἄλευρον ὄξει φυρῶν ἢ σίνηπι λεῖον σὺν ὄξει μέχρι φοινίξεως. ἢ ψύλλιον ὄξει καὶ ὕδατι βρέξας καὶ ἐν ὅλμῳ κόψας, προσδοὺς κοχλιῶν σαρκῶν ἴσον, μαλαγματῶδες ποιῶν ἐπιτίθει. ἀνώδυνα στομαχικοῖς. κύμινον
13.175 πεφρυγμένον καὶ σέλινον ἀνὰ ὀλίγον πότιζε σὺν ὕδατι. ἢ ἀλόης δύο ὀβολοὺς μετὰ οἰνομέλιτος ἢ οἴνου ἢ ὕδατος πότιζε. ἢ ἀβροτόνου καὶ θύμου ἀνὰ δύο ὀβολοὺς σὺν οἴνῳ δὸς πιεῖν. διαδέσμοις δὲ τῶν ἄκρων εὐτόνως χρῶ, κατ᾽ αὐτοῦ δὲ τοῦ στομάχου σικύαις τε καὶ πυρίαις ποικίλαις. εἰ δὲ εὔτονος σφρόδρα ἡ διάτασις εἴη καὶ φλεβοτομία δραστήριον βοήθημα καὶ λύσις κοιλίας διὰ βαλάνου. ἐφεξῆς τῶν προγεγραμμένων ἔγραψεν ὁ Ἀρχιγένης περὶ τοῦ βουλίμου καὶ τοῦ λυγμοῦ τὰ ὑπογεγραμμένα. τοὺς δὲ βουλιμιῶντας ἐν ταῖς ὁδοῖς ἢ ἄλλως πως ἀνακτησόμεθα μὲν ὀσφραίνοντες ὄξει ἢ γλήχωνι, ἢ τῇ παρατυχούσῃ γῇ βρέξαντες ὄξει ἢ μήλοις ἢ ἀπίοις ἢ τῶν ἄλλων καρπῶν τῶν παρακειμένων. ἔτι δὲ ἀρτίδιον συνοσφραίνοντες καὶ προσφέρεσθαι ἀναγκάζοντες, πρὸς ἕκαστον γὰρ τούτων διεγείρονται ταχέως. πρὸς δὲ τούτοις ὕειον κρέας ὀπτὸν καὶ ἑφθόν. καὶ καθόλου πᾶν τὸ τροφῶδες καὶ μάλιστα τὰ ὀσμὴν κνισώδη καὶ εὐάρτυτον καὶ ἱκανὴν ἔχοντα. ταύταις
13.176 γὰρ ταῖς ὀσμαῖς κατὰ τὸ πλεῖστον οἱ τοιοῦτοι ἀνακτῶνται. τά τε ἄκρα αὐτῶν οὐδὲν ἔλαττον διακρατητέον καὶ διεγερτέον αὐτοὺς, τάς τε σιαγόνας νύσσοντας καὶ τρίχας ἢ ὦτα ἀνατείνοντας. ἀνακτήσῃ δὲ ἀπὸ τῆς ἐκλύσεως, ἄρτον ἐν κράματι ἢ καὶ ἄλλο τι τῶν δυναμένων ἀθρόως ἀναλαβεῖν διδοὺς, οἷον ὠὰ ῥοφητὰ, βολβοὺς, κοχλίας. καὶ γὰρ τὸν πλάδον τοῦ στομάχου τούτων ἕκαστον παραιτεῖται καὶ ἐν ὀλίγῳ πλήθει δύναμιν ἱκανὴν ἔχον ἀθρόως ῥώννυσιν. τοῖς δὲ λύζουσι πήγανον μετ᾽ οἴνου δίδου ἢ νίτρον ἐν μελικράτῳ ἢ σέλινον ἢ καστόριον ἢ ἀβρότονον ἢ ἀριστολοχίαν ἢ δαῦκον Κρητικὸν ἢ κύμινον ἢ ἄνισον ἢ ζιγγίβερι ἢ

σκίλλαν μετ᾽ ὄξους καὶ ἐλαίου ἢ τορδύλου ἢ δίκταμνον ἢ καλαμίνθην ἢ ἄκορον ἢ ἄσαρον ἢ νάρδον Κελτικὴν ἢ γλήχωνα, ἰδίᾳ ἕκαστον καὶ ὁμοῦ.

Τὸ διὰ τῶν κυδωνίων μήλων τοῦ χυλοῦ φάρμακον ἡμέτερον. Αἱ μὲν μεγάλαι τοῦ στόματος τῆς κοιλίας διαθέσεις ὑπὸ τῶν ἔμπροσθεν εἰρημένων φαρμάκων θεραπεύονται, τὰς δὲ μετρίας σχεδὸν πλὴν τῶν
13.177 κατ᾽ ἔγκαυσιν σφοδρὰν γινομένων, ὠφελεῖ τὸ ὑπογεγραμμένον φάρμακον. κυδωνίων μήλων χυλοῦ ξε. β . μέλιτος Ἀττικοῦ ξε. β . ὄξους ξε. α . ἐὰν δὲ ἱκανῶς εἴη δριμὺ, ξε. α . ἀρκεῖ ζιγγιβέρεως γο γ . πεπέρεως λευκοῦ γο α . τὰ ξηρὰ ἐπιπάσσεις, ὅταν ἐπὶ μαλακοῦ πυρὸς ἑψόμενος ὁ χυλὸς τῶν μήλων μετὰ τοῦ μέλιτος καὶ τοῦ ὄξους ἔχῃ σύστασιν Ἀττικοῦ μέλιτος.

Ἄλλο τὸ διὰ τῶν κυδωνίων μήλων τῆς σαρκός. ℋ Τῶν κυδωνίων μήλων τῆς σαρκὸς λίτρας γ′. μέλιτος λίτρας γ′. ὄξους λευκοῦ λίτρας γ′. πεπέρεως γο γ′. ζιγγιβέρεως γο γ′. πετροσελίνου Μακεδονικοῦ γο α′.

Περὶ τῶν ἔξωθεν ἐπιβαλλομένων τῷ στόματι τῆς κοιλίας. Καλοῦσι μὲν οἱ πλεῖστοι τῶν ἰατρῶν οὐκ οἶδ᾽ ὅπως, ὥσπερ ὁ Ἀσκληπιάδης καὶ ὁ Ἀνδρόμαχος, ἅπαντα τὰ ἔξωθεν ἐπιτιθέμενα, κἂν συνάγῃ στύφοντα κἂν σκληρύνῃ, μαλάγματα συγχωρήσαντες δὲ αὐτοῖς ἡμεῖς, εἰ καὶ μὴ κυρίως ὀνομάζουσιν, ἃ γεγράφασι πρὸς τὰς τοῦ στομάχου διαθέσεις χρήσιμα
13.178 φάρμακα, διὰ τῆς πείρας οὐ μόνης τῆς ἐκείνων, ἀλλὰ καὶ τῆς ἡμετέρας κεκριμένων νῦν ὑπογράψομεν, ἀπὸ τῶν ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένων ἀρξάμενοι.

Τὰ ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένα φάρμακα πρὸς τὰς τοῦ στομάχου διαθέσεις ἐν τῷ τετάρτῳ τῶν ἐντὸς, ἃ Μαρκέλλας ἐπιγράφει. Εὐηνοῦ πρὸς τὰς τοῦ στομάχου ἀνατροπὰς καὶ περιωδυνίας, ποιεῖ καὶ πρὸς τὰς κατὰ μέρος φλεγμονάς. ℋ οἰνάνθης ⋖ η′. κρόκου ⋖ β′. ῥόδων ξηρῶν ⋖ δ′. μελιλώτου ⋖ δ′. μαστίχης ⋖ δ′. ἠλέκτρου ῥινήματος ⋖ δ′. φοινικοβαλάνων τῆς σαρκὸς γο γ′. οἴνου μυρτίτου ὅσον ἐξαρκεῖ. τὰ ξηρὰ κόπτε καὶ σῆθε λεπτῷ κοσκίνῳ καὶ τῷ μυρτίτῃ διαλύσας, ὥστε κηρωτῆς παχυτέρας πάχος ἔχειν, ἐπίβαλλε τούτοις τὴν σάρκα τῶν φοινικοβαλάνων καὶ ἀνακόψας ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου, ἔπειτα

ἐμπλάσας εἰς ὀθόνιον, ἐπιτίθει κατὰ τοῦ στόματος τῆς κοιλίας, ποιεῖ καὶ πρὸς τὰς τῶν ὀφθαλμῶν φλεγμονάς. ἄλλο. ⳨ οἰνάνθης ‹ στ′. κρόκου ‹ δ′. σμύρνης ‹ δ′. ῥόδων ἄνθους ‹ δ′. μελιλώτου, μαστίχης ἀνὰ ‹ δ′. ἀλόης ‹
13.179 δ′. μανδραγόρου φλοιοῦ ‹ δ′. φοινικοβαλάνων τῆς σαρκὸς γο γ′. ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου.

Ἀσκληπιάδου τοῦ ἐπικληθέντος φιλοφυσικοῦ, πρὸς τὰς τοῦ στομάχου ἀνατροπὰς, ποιεῖ κοιλιακοῖς δυσεντερικοῖς. ⳨ Ὑοσκυάμου σπέρματος ‹ δ′. σελίνου σπέρματος ‹ δ′. ῥόδων ἄνθους ‹ β′. ἀνίσου σπέρματος ‹ β′. ὑποκυστίδος χυλοῦ ‹ β′. σμύρνης ‹ β′. κρόκου ‹ α′ ′′. ὀπίου ‹ α′ ′′. τὰ ξηρὰ κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ. τὴν δὲ ὑποκυστίδα καὶ τὴν σμύρναν καὶ τοῦ μήκωνος τὸν ὀπὸν οἴνῳ μυρτίτῃ διαλύσας ἐπίβαλλε τοῖς ξηροῖς καὶ ἀνάπλαττε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ. ἐν δὲ τῇ χρήσει κόπτων ὅσον ἐξαρκεῖ ἀναλάμβανε μέλιτι ἑφθῷ, ἔπειτα ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει ἐπὶ τῶν πεπονθότων. ἐὰν δέ πως ἰσχυρὸν εἴη τὸ ῥεῦμα, προστίθει ὑποκυστίδος χυλοῦ ἄλλην ‹ καὶ ῥόδων τοσόνδε.

Ἄλλη Γάλλου Μάρκου τοῦ Ἀσκληπιάδου, πρὸς τὰς εἰρημένας διαθέσεις. ⳨ Ὑοσκυάμου σπέρματος ‹ γ′. ῥόδων ἄνθους ‹ β′. ἀνίσου ‹ β′. σελίνου
13.180 σπέρματος ‹ δ′. ὀπίου ‹ α′. ὑποκυστίδος χυλοῦ ‹ β′. σμύρνης Τρωγλοδύτιδος δραχμὰς β′. κρόκου ‹ α′ ′′. οἴνου μυρτίτου τὸ αὔταρκες, μέλιτος ἀφεψημένου ὅσον ἐξαρκεῖ, σκεύαζε καὶ χρῶ καθὰ προείρηται. τὰ τοιαῦτα τῶν φαρμάκων πίνεται καὶ σφόδρα βοηθεῖ. ἐπισχεθέντος δὲ τοῦ ῥεύματος καὶ παρεπομένης ὀδύνης προστιθέναι δεῖ τῇ τοῦ φαρμάκου σκευασίᾳ τοσαύτας ὁλκὰς κηρωτῆς σκευασθείσης διὰ ῥοδίνου. ἐπιγινομένου δὲ πολλοῦ ῥεύματος, προστίθεμαι τῷ φαρμάκῳ ὑποκυστίδος χυλοῦ ‹ γ′. καὶ ῥόδων ἄνθους ἄλλην ‹, ἀγρυπνίας δὲ ἐπιγενομένης καὶ τοῦ μήκωνος ὀποῦ προστίθει ἄλλην ‹.

Ἄλλο Νικηράτου κοιλιακοῖς, δυσεντερικοῖς, σφόδρα γενναῖον. ⳨ Οἰνάνθης ‹ β′. ῥόδων ξηρῶν γο α′. μαστίχης γο α′. ἀλόης γο α′. κηκίδων ὀμφακιτίδων γο α′. στυπτηρίας στρογγύλης γο α′. ἀκακίας γο α′. κηροῦ λίτραν α′. πίσσης βρυτίας γο γ′. μυρσίνου ἐλαίου λίτραν α′. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. ἄλλο σφόδρα γενναῖον. ⳨ οἰνάνθης γο α′. ὀμφακίου γο α′. κηκίδος ὀμφακίτιδος γο α′. στυπτηρίας σχιστῆς γο α′. ἀκακίας γο α′.

13.181 κυτίνων ῥοιᾶς γο α΄. βαλαυστίου ⸠α΄. μαστίχης γο α′. οἴνου μυρτίνου ὥστε τὰ ξηρὰ φυρᾶσαι, φοινικοβαλάνων τῆς σαρκὸς γο στ′. ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ σχινίνου λίτρᾳ μιᾷ σκεύαζε καὶ χρῶ καθὰ προείρηται. τὰ μὲν οὖν προγεγραμμένα φάρμακα στυπτικώτερά ἐστι δυνάμει, τὰ δ᾽ ἐφεξῆς ὑπὸ τοῦ Ἀσκληπιάδου γεγραμμένα μικτῆς, ὡς καὶ τὰς σκληρουμένας φλεγμονὰς ἐκθεραπεύειν καὶ διὰ τοῦτο καὶ τοῖς ἡπατικοῖς ἐστι χρήσιμα. δέονται γὰρ κἀκεῖνοι μεμίχθαι τι τῶν στυπτικῶν τοῖς χαλαστικοῖς, οὐ μὴν ὁμοίως τοῖς στομαχικοῖς· ἐπικρατεῖ γὰρ ἡ στυπτικὴ ποιότης ἐν τοῖς στομαχικοῖς φαρμάκοις.

Μάλαγμα Νείλου ἐπιγραφόμενον, ποιεῖ πρὸς τὰς τῶν ὑποχονδρίων διατάσεις καὶ πρὸς τὰς τῶν ἄρθρων ὀδύνας. ἔστι δὲ καὶ διαλυτικὸν πάσης σκληρίας. ποιεῖ πρὸς τρίμματα καὶ λυγίσματα μετὰ τὰς παρακμὰς τῶν φλεγμονῶν ἐπιτιθέμενον, ποιεῖ σπληνικοῖς, ἡπατικοῖς. Κηροῦ λίτραν α . ἀμμωνιακοῦ θυμιάματος λίτραν α . ἐλαίου κυπρίνου λίτραν α . κρόκου γο . ὄξους ὅσον ἐξαρκεῖ, τὸ ἀμμωνιακὸν διαλύσας, εἶθ᾽ οὕτως ἐπίβαλλε τὰ ξηρά.

13.182 Ἄλλο ἐκ τῶν Ἀρείου Ἀσκληπιάδου. Ἀμμωνιακοῦ θυμιάματος λίτρας δύο, λεάνας ἐπιμελῶς καὶ βαλὼν εἰς ἄγγος κεραμεοῦν, ἐπίβαλλε τούτῳ ἁλὸς ἄνθους λίτραν α . καὶ ἐλαίου κυπρίνου λίτραν α . ἔψε μαλακῷ πυρὶ χρώμενος καὶ κινῶν συνεχῶς, καὶ ὅταν ἐμπλαστρῶδες γένηται, ἐπίβαλλε κηροῦ λίτρας β . καὶ ὅταν τακῇ καὶ ἀμόλυντον γένηται, ἐξεράσας εἰς θυΐαν καὶ ἀνακόψας, ἐπιμελῶς ἀνελόμενος χρῶ.

Μάλαγμα Νειλέως κροκηρὸν φάρμακον ἐπιτετευγμένον πρὸς τὰς εἰρημένας διαθέσεις. ποιεῖ καὶ πρὸς ἐρυσιπέλατα. τούτῳ ἐχρήσατο Λυκίνιος Ἀττικός. ℞ Ἀμμωνιακοῦ θυμιάματος λίτραν α ′. κηροῦ λίτραν α ′. ῥοδίνου λίτραν α ′. κρόκου γο α ′. ὄξους ὅσον ἐξαρκεῖ, σκεύαζε κατὰ τρόπον.

Ἄλλο τὸ μήλινον ἐπιγραφόμενον ἀρωματικὸν, ἡπατικοῖς, στομαχικοῖς καὶ πρὸς τὰς τῶν ὑποχονδρίων διατάσεις καὶ πᾶσαν νευρικὴν συμπάθειαν. ℞ Ἀμμωνιακοῦ θυμιάματος ⸠ρ΄. κηροῦ Ποντικοῦ ⸠ρ΄.

μελιλώτων ‹ ιβ′. κρόκου, σμύρνης, βδελλίου ἀνὰ ‹ η′. ἐλαίου κυπρίνου λίτραν α′.

13.183 Ἄλλο. ποιεῖ στομαχικοῖς, ἡπατικοῖς καὶ πρὸς τὰς τῶν ὑποχονδρίων φλεγμονὰς καὶ πρὸς πᾶσαν νευρικὴν συμπάθειαν. ⁂ Κηροῦ ‹ ρ′. κρόκου ‹ ιβ′. ἀμμωνιακοῦ θυμιάματος ‹ ρ′. σμύρνης ‹ ιβ′. βδελλίου ‹ η′. μάγματος ἡδυχρόου γο γ′. οἴνου γλυκέος ὅσον ἐξαρκεῖ, ἐλαίου κυπρίνου λίτραν α′. σκεύαζε μετὰ τρόπον.

Ἄλλο τὸ τοῦ Νεαπολίτου ἀρωματικὸν ἐπιγραφόμενον, φάρμακον ἐπιτετευγμένον πρὸς τὰς τῶν ἐντὸς διαθέσεις. Ἀμμωνιακοῦ θυμιάματος λίτρας γ . κηροῦ λίτρας γ . ῥοδίνου λίτρας γ . μάγματος ἡδυχρόου λίτρας . μελιλώτου λίτρας . κυπρίου λίτρας . νάρδου Κελτικῆς λίτρας . σχοίνου ἄνθους λίτρας . οἴνου γλυκέος ὅσον ἐξαρκεῖ, τὰ ξηρὰ φύρα.

Τῶν χωρὶς ἀτονίας φλεγμονῶν χρονιζουσῶν μαλάγματα καλὰ καὶ πρὸς τὰς τοῦ ἥπατος ὁμοίως φλεγμονάς. Ἀσκληπιάδου μάλαγμα τὸ διὰ μελιλώτου, ἱερατικὸν ἐπιγραφόμενον, στομαχικοῖς, ἡπατικοῖς καὶ πρὸς τὰς τῶν σπλάγχνων ὀδύνας. ⁂ Νάρδου Κελτικῆς ‹ ι′. κυπέρου ‹ ι′.
13.184 σμύρνης ‹ ι′. καρδομώμου ‹ η′. μελιλώτου ‹ μ′. κρόκου ‹ η′. ἀμώμου ‹ η′. κύφεως ἱερατικοῦ ‹ ιστ′. ἀμμωνιακοῦ θυμιάματος ‹ μ′. ῥητίνης τερμινθίνης ‹ π′. κηροῦ μνᾶν α′. ἐλαίου κυπρίνου μνᾶν α′. οἴνου εὐώδους Ἰταλικοῦ κοτύλην α′. σκεύαζε καθὰ προείρηται καὶ χρῶ.

Ἄλλο βασιλικὸν ἐπιγραφόμενον, ποιοῦν πρὸς τὰς εἰρημένας διαθέσεις καὶ πᾶσαν νευρικὴν συμπάθειαν. Κηροῦ μνᾶς γ . ἀμμωνιακοῦ θυμιάματος μνᾶς β . ῥητίνης φρυκτῆς μνᾶν α . μελιλώτου μνᾶς . προπόλεως κε . σμύρνης κε . νάρδου Κελτικῆς κε . στύρακος κε . κυπέρου κε . Ἰλλυρικῆς κε . καρδαμώμου, πάνακος ἀνὰ κε . κρόκου, κασσίας, μαστίχης, ὀποβαλσάμου, ἀμώμου, σχοίνου ἄνθους ἀνὰ ιστ . οἴνου Ἰταλικοῦ εὐώδους ὅσον ἐξαρκεῖ, τὰ ξηρὰ φυράσας, νάρδου Ἀσιανῆς ἀρωματικῆς λίτρας δ . σκεύαζε κατὰ τρόπον.

Μάλαγμα Πολυάρχιον. ποιεῖ περιπνευμονικοῖς, στομαχικοῖς, σπληνικοῖς, ὑδρωπικοῖς, ποιεῖ πρὸς τὰς περὶ κύστιν ἢ μήτραν διαθέσεις, πρὸς πᾶσαν

13.185 νευρικὴν συμπάθειαν. ⁋ Κηροῦ μνᾶν α′. τερμινθίνης μνᾶν α′. βδελλίου μνᾶν α′. ἀμμωνιακοῦ θυμιάματος, καρδαμώμου, κυπέρου ἀνὰ μνᾶν α′. μελιλώτου, ἀμώμου, νάρδου Ἰνδικῆς, κρόκου, σμύρνης, λιβάνου, ξυλοκινναμώμου ἀνὰ ‹ κε′. ἐλαίου κυπρίνου κοτύλην α′. οἴνου Ἰταλικοῦ ὅσον ἐξαρκεῖ, σκεύαζε κατὰ τρόπον καὶ χρῶ, ποτὲ μὲν ἀκράτῳ, ἔσθ’ ὅτε καὶ ἀνιεμένῳ κηρωτῇ σκευασθείσῃ διὰ κυπρίνου.

Πολυάρχου φάρμακον ἐπιτετευγμένον. ποιεῖ καὶ πρὸς τὰς εἰρημένας διαθέσεις καὶ πᾶσαν νευρικὴν συμπάθειαν. ποιεῖ καὶ πρὸς τὰς συνεχεῖς ἀπεψίας καὶ τοῖς φθείρουσι τὴν τροφὴν καὶ χολεμετοῦσι, καὶ πάσας τὰς κεχρονισμένας διαθέσεις. ἐχρήσατο Ἰούλιος Ἀγρίππας. τὰ δὲ τῆς σκευασίας ἔχει οὕτως. Καστορίου, ἀμώμου ἀνὰ γο α . πεπέρεως λευκοῦ γο α . καὶ μακροῦ γο α . σμύρνης γο γ . μάγματος ἡδυχρόου γο γ . καρποβαλσάμου γο γ . κόστου γο γ . φύλλων μαλαβάθρου, κασσίας ῥοδιζούσης, πάνακος, ὀποβαλσάμου, νάρδου Ἰνδικῆς ἀνὰ γο γ . σχοίνου ἄνθους. κινναμώμου ἀνὰ γο δ . πυρέθρου,
13.186 κρόκου, καρδαμώμου ἀνὰ γο δ . κυπέρου γο στ′. ἴρεως Ἰλλυρικῆς, ἀριστολοχίας μακρᾶς καὶ στρογγύλης ἀνὰ γο στ′. κηροῦ λίτρας δ′. τερμινθίνης λίτρας β′. ῥητίνης λάρικος γο γ′. ἐν ἄλλῳ καὶ βδελλίου γο δ′. ἀμμωνιακοῦ θυμιάματος γο δ′. νάρδου Ἀσιανῆς τῶν μύρου λίτρας γ′. οἴνου Φαλερίνου ὅσον ἐξαρκεῖ, σκεύαζε κατὰ τρόπον. ἐγὼ δὲ προσβάλλω, μαστίχης, κινναμώμου, ἀμμωνιακοῦ θυμιάματος, στύρακος, ἀλόης, ὀποβαλσάμου ἀνὰ γο γ′.

Τὸ διὰ μελιλώτου Ἀνδρομάχου μάλαγμα. ⁋ Νάρδου Κελτικῆς ‹ η′. κυπέρου ‹ η′. καρδαμώμου ‹ η′. ἴρεως Ἰλλυρικῆς ‹ η′. σμύρνης ‹ η′. κρόκου ‹ δ′. μελιλώτου ‹ κε′. ἀμμωνιακοῦ θυμιάματος ‹ ν′. τερμινθίνης ‹ ν′. κηροῦ ‹ ρ′. κυπρίνου κοτύλης ′′. ὄξους τὸ ἱκανόν. τινὲς ἀμμωνιακοῦ θυμιάματος ‹ ρ′. ποιεῖ πρὸς τὰ ἐντὸς πάντα. τὸ Πολυάρχου ἐκ τῆς ἐπιστολῆς πρὸς πάντα τὰ ἐντὸς μάλαγμα. ⁋ κυπέρου μνᾶν α′. καρδαμώμου μνᾶν α′. μάννης ἴσον, κηροῦ ἴσον, τερμινθίνης φρυκτῆς μνᾶν α′ ′′. ἢ ὑγρᾶς μνᾶς γ′. κυπρίνου τὸ ἱκανὸν, ἐγὼ δὲ καὶ βδελλίου
13.187 προστίθημι μνᾶν α′. ἄλλο, ἡ δευτέρα γραφή. κυπέρου, καρδαμώμου, ἀμώμου, βδελλίου, λιβάνου, βαλσάμου ἀνὰ μνᾶν α . κηροῦ μνᾶν α

. ῥητίνης φρυκτῆς μνᾶς δ . κυπρίνου κοτύλης . οἴνου εὐώδους κοτύλην α . σκεύαζε κατὰ τρόπον καὶ χρῶ, ὡς καὶ τοῖς πρὸ αὐτοῦ. ὡς δὲ ἐγώ. κυπέρου, καρδαμώμου, ἀμώμου, βδελλίου, λιβάνου ἀνὰ μνᾶν α . κηροῦ μνᾶς . ῥητίνης φρυκτῆς ἢ τερμινθίνης μνᾶς γ . κυπρίνου κοτύλην α . κασσίας μνᾶς δ . ἀμμωνιακοῦ θυμιάματος μνᾶς δ . νάρδου Ἰνδικῆς, κρόκου, σμύρνης ἀνὰ μνᾶς δ . οἶνος εὐώδης.

Περὶ ἥπατος καὶ τῶν ἐν αὐτῷ παθῶν. Ὑστάτης ἁπασῶν τῆσδε τῆς πραγματείας μοι γραφομένης, ἡγοῦμαι παντί που πρόδηλον ὑπάρχειν, ὡς δυοῖν τῶνδε θάτερον ἀληθές ἐστιν, ἢ τὰς ἄλλας πάσας ἀχρήστους εἶναι καὶ περιττὰς, εἴ τις ἐκ ταύτης μόνης ἱκανὸς ἔσται θεραπεύειν ἅπαντα τὰ πάθη τὰ δεόμενα τῆς διὰ φαρμάκων ἰάσεως, ἢ εἴπερ ἐκεῖναι χρήσιμοι τυγχάνουσιν οὖσαι, πρῶτον αὐτὰς ἀναγνωστέον ἐστὶ καὶ μνημονευτέον
13.188 τοῖς μέλλουσιν ὠφελήσεσθαί τι πρὸς τῆσδε. τὰς μὲν γὰρ μεθόδους αὐτὰς τῆς τῶν εἰρημένων ἰάσεως ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου ιδ′. βιβλίοις ἔγραψα· νῦν δὲ ὡς εἰδόσιν αὐτὰς ἤδη χωρὶς τῶν εἰρημένων ἀποδείξεων ἀναμιμνήσκω δεικνὺς πάντως, ὅπως καλῶς τε ἡμεῖς συνθήσομεν φάρμακα, τά τε ὑπὸ τῶν ἔμπροσθεν γεγραμμένα κρίναντες εἰς πεῖραν ἄγειν θαρρήσομεν. καὶ χρήσιμόν γε τοῦτο τὸ σκέμμα. καὶ γὰρ ἄλογον εἶναι βουλόμενοι τὴν ἑαυτῶν τέχνην οἱ ἐμπειρικοὶ μετεχειρίσαντο, πάντα μὲν ἀναγινώσκειν ἀξιοῦντες, ὅσα καὶ τοῖς ἐνδόξοις ἰατροῖς γέγραπται, μὴ πάντα δὲ εἰς χρῆσιν ἄγειν εὐθέως, ἀλλὰ καὶ κρίνειν πρότερον, εἰ δυνατὸν ἕκαστον αὐτῶν ἐστι τὴν ἐπαγγελίαν ἔργῳ ἐπιδείξασθαι. ἡμεῖς δὲ τὴν ἐμπειρίαν ἐν πάσῃ τῇ τέχνῃ μέγα τι δύνασθαι πεπεισμένοι τά τε διὰ λογικῆς μεθόδου τῶν θεωρημάτων εὑρημένα τοῖς περὶ κρίσεως ἱστορίας ὑπ᾽ αὐτῶν εἰρημένοις τὰ διὰ τῆς λογικῆς ἐνδείξεως προστίθεμεν, δεδειχότες ἐν ἑτέροις ὁποίαν δύναμιν εἰς τὸ βαδίζειν ἑκάτερον τῶν σκελῶν εἰσφέρεται, τοιαύτην ἐν ἰατρικῇ τὴν
13.189 ἐμπειρίαν τε καὶ τὸν λόγον ἔχειν. ἐν μὲν οὖν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ δι᾽ ἕνδεκα βιβλίων γεγραμμένῃ τὴν δύναμιν ἑκάστου τῶν αὐτοφυῶν φαρμάκων, ὅπως ἄν τις εὑρίσκοι μεθόδῳ διήλθομεν, ἐπί τε τὴν κατὰ μέρος αὐτῶν ὕλην ἀφικόμενοι τὴν χρησιμωτάτην εἰς τὰ τῆς τέχνης ἔργα κατ᾽ εἴδη πᾶσαν ἐργάψαμεν. ἐφεξῆς δὲ αὐτῇ καὶ τὴν θεραπευτικὴν πραγματείαν, ὅπως ἄν τις ἄριστα

μὴ μόνον τοῖς ἁπλοῖς, ἀλλὰ καὶ τοῖς συνθέτοις χρῷτο, διήλθομεν ἅμα τῷ καὶ τὰς ὁδοὺς τῆς συνθέσεως αὐτῶν πάσας εἰπεῖν. ἐν δὲ τῇ νῦν προκειμένῃ πραγματείᾳ τὴν ποικιλίαν τῶν συνθέτων φαρμάκων ὅπως ἐγένετο δηλοῦμεν, εἰς ὡρισμένους σκοποὺς κατ᾽ εἶδος ἄγοντες αὐτῶν τήν τε σύνθεσιν καὶ τὴν χρῆσιν, ἔτι τε τὴν κρίσιν τῶν ἤδη γεγραμμένων. μέλλοντες οὖν ἀκολούθως τοῖς προειρημένοις ἐπὶ τὴν τῶν ἐν ἥπατι παθῶν ἀφικνεῖσθαι διδασκαλίαν, ἐροῦμεν τὰ κατ᾽ αὐτὸ πάθη λόγῳ διελθόντες, οὐ ψιλαῖς διδασκαλίαις, ἀπό τε τῶν καθόλου σκοπῶν τῆς ἰάσεως αὐτῶν, οὓς ἐν τῇ θεραπευτικῇ πραγματείᾳ διήλθομεν, ἐπὶ τὴν
13.190 τῶν συνθέτων ἀφίξομαι διδασκαλίαν. ἔστιν οὖν ἐν αὐτῷ πρῶτον ἁπάντων διακρῖναι, πότερον ἀτονία τίς ἐστι τοῦ σπλάγχνου, καθάπερ ἐπὶ τῶν κατὰ τὴν κοιλίαν εἴπομεν, ἢ καί τι ἄλλο πάθημα κατείληφε τὸ σπλάγχνον, ἢ χωρὶς ἀτονίας πάσχει φλεγμαῖνον ἢ σκιρρούμενον ἢ ἀποστήματι κάμνον ἢ ἐμφράξει, καθάπερ καὶ ἐρυσιπελατώδη διάθεσιν ἴσχον ἢ ἕλκος, ἤ τινα σηπεδόνα. καὶ γὰρ οὖν κἀπὶ τούτου ἡπατικὴν λέγουσι, καθάπερ κἀπὶ τοῦ στόματος τῆς κοιλίας πάσχοντος οἱ πολλοὶ τῶν ἰατρῶν τε καὶ τῶν ἰδιωτῶν ὀνομάζουσι στομαχικὴν διάθεσιν ἐπὶ πολλοῖς συμπτώμασιν, οὐ κατὰ μίαν ἅπασι γιγνομένοις διάθεσιν, ἀλλὰ κατὰ πολλὰς μιᾷ μέν τινι γενικῇ κοινότητι παραλαμβανομένας, ἀλλήλων δὲ διαφερούσας εἰς τοσοῦτον, ὡς ἐνίας αὐτῶν ἐναντιωτάτας εἶναι. πῶς γάρ τις οὐκ ἐναντιωτάτην εἶναι φαίη τὴν μὲν ψυχρὰν δυσκρασίαν τῇ θερμῇ, τῇ δὲ ὑγρᾷ τὴν ξηράν, καίτοι κατά γε τὸ γένος εἰσὶν αἱ αὐταί. σχεδὸν δὲ καὶ πάντα τὰ ἐναντία τὰ αὐτὰ τῷ γένει λέγων
13.191 ἄν τις οὐκ ἂν ἁμάρτοι, καὶ γὰρ ἡ ἔννοια τῶν ἐναντίων ἐστὶν, ἐπειδὰν πλεῖστον ἀλλήλων ἀφέστηκε. πλεῖστον δὲ ἀφέστηκε τῶν μέσων καθοτιοῦν γένος τὰ ἐπὶ τοῖς πέρασιν ὄντα, ὡς τὰ ἐναντία πολλάκις μὲν τὰ αὐτὰ φαίνεσθαι κατὰ τὰ πέρατα τοῦ κοινοῦ γένους, πολλάκις δὲ ἐπαναβεβηκότων αὐτοῖς γενικωτέρων ἐναντίων, ὑπ᾽ ἐκείνων περιέχεσθαι, αὐτὰ δὲ ἐκεῖνα πάντως διὰ τοῦτό ἐστιν ἐναντία, διότι καθ᾽ ἓν γένος ὄντα πλεῖστον ἀλλήλων ἀφέστηκεν, ὥστε καὶ τὰ τούτοις ὑποπεπτωκότα τὸ πρῶτον καὶ ἀνωτάτω γένος κοινὸν ἴσχει. τοῦτο μὲν οὖν ἡμῖν ἅπαξ ἐνταῦθα κατὰ τὸ πάρεργον εἰρημένον εἰσαεὶ μνημονευέσθω πρὸς τὸ μὴ δόξαι τινὶ διαφωνεῖν ἑαυτῷ, εἰπόντα ποτὲ

μὲν ἕν τι πάθος εἶναι ταὐτὸν ἀνθρώποιν δυοῖν, ποτὲ δὲ οὐχ ἓν οὔτε ταὐτὸν, ἀλλ᾽ ἐναντία δύο. δυσκρασίαν γὰρ ἓν μέν τι πάθος γενικῶς ὀνομάζουσι, τεμνόμενον δ᾽ εἰς ἐναντίας διαφοράς. ἔξεστι γὰρ, καθάπερ ἐνταῦθα εἴπομεν, οὕτως καὶ δύο καὶ τρία καὶ πολλὰ κατὰ τὰς ἐν μέρει διαφορὰς ἐναντιωτάτας ἀλλήλαις εἶναι καὶ κατὰ τοῦτο τῆς ἀτονίας τοῦ
13.192 ἥπατος, ὀρθῶς ἂν εἰπὼν διάθεσιν αἰτίαν εἶναι μίαν, ἣν δυσκρασίαν ὀνομάζομεν, αὖθις ὀρθῶς ἂν λέγοιμι μὴ μίαν, ἀλλ᾽ ὀκτὼ τὰς διαθέσεις εἶναι, διότι τοσαῦται διαφοραὶ τῶν δυσκρασιῶν εἰσι. καὶ γὰρ αὖ καὶ καθ᾽ ἑτέραν τομὴν δύο διαφοραὶ τῶν δυσκρασιῶν γίγνονται καὶ καθ᾽ ἑτέραν τρεῖς, αἱ μὲν ἐν ταῖς ποιότησι μόναις ἀλλοιουμένων τῶν πασχόντων μορίων, αἱ δὲ μεθ᾽ ὑγρῶν τινῶν ἤτοι γε ἐν ταῖς εὐρυχωρίαις τῶν πεπονθότων περιεχομένων ἢ ἐν τοῖς σώμασιν αὐτοῖς διαβρόχοις ὑπ᾽ αὐτῶν γεγονόσι. κατὰ μὲν οὖν τὴν γαστέρα καὶ τὰ ἔντερα μία καθ᾽ ἕκαστόν ἐστι κοιλότης ὑγρότητα μοχθηρὰν δέξασθαι δυναμένη, κατὰ δὲ τὸ ἦπαρ τοσαῦται τὸν ἀριθμὸν, ὅσαι περ αἵ τε ἀρτηρίαι καὶ αἱ φλέβες. τῶν δ᾽ ἁπασῶν ἐχουσῶν στενὰ τὰ πέρατα, καθ᾽ ἃ συμβάλλει τὰ σιμὰ τοῦ σπλάγχνου τοῖς κυρτοῖς, ἔμφραξίς τε καὶ σφήνωσις ἐνίοτε γίγνονται τῶν μοχθηρῶν ὑγρῶν, αἷς ἕπεται σηπεδὼν ἐν τάχει ταῖς ψυχραῖς δυσκρασίαις, θερμαῖς δὲ οὐ ταχέως, ἀλλ᾽ ἐπὶ προήκοντι τῷ χρόνῳ συμπίπτουσα. γίνεται δὲ ἡ δυσκρασία κατά τε τὴν ἰδίαν οὐσίαν τοῦ ἥπατος, ἣν
13.193 Ἐρασίστρατος ἡγεῖται παρέγχυμά τι καὶ οὐκ αὐτὸ τὸ κυριώτατον εἶναι μόριον τοῦ σπλάγχνου. γίνεται δὲ ἡ δυσκρασία καὶ κατὰ τὰς περιεχομένας ἐν αὐτῷ φλέβας τε καὶ ἀρτηρίας καὶ δηλονότι καὶ κατὰ τὰς ἐν ταῖς εὐρυχωρίαις αὐτῶν ὕλας. ἔχοντος δὲ τοῦ σπλάγχνου τῶν ἐνεργειῶν, ἃς ἐνεργεῖ κατὰ τὸν τῆς ζωῆς χρόνον, οὐ μίαν, ἀλλὰ πλείους δυνάμεις καὶ τοσαύτας γε τὸν ἀριθμὸν, ὅσα τῶν ἐνεργειῶν εἴδη, συμβαίνει πολλάκις μὲν ἐξαιρέτως μίαν αὐτῶν βλάπτεσθαι, πολλάκις δὲ δύο καὶ τρεῖς καὶ πάσας ἅμα τὰς τέσσαρας. ἐνέργεια γὰρ αὐτοῦ μία μὲν ἑλκύσαι τὴν τροφὴν ἐφ᾽ αὑτὸ, μία δὲ ἄλλη περιστεῖλαί τε καὶ κατασχεῖν, ἄχρις ἂν ἀλλοιῶσαν αὐτὴν ἑαυτοῦ ποιήσηται μόριον. ἔστι γὰρ οὖν δὴ καὶ αὕτη δύναμις αὐτοῦ κυριωτάτη τε καὶ σχεδὸν πρώτη πέττειν τε καὶ μεταβάλλειν καὶ ἀλλοιοῦν καὶ ὁμοιοῦν ἑαυτῷ τὴν τροφὴν, ἣν ὀνομάζομεν ἀλλοιωτικήν. ὅσα δὲ κατὰ τὴν ἀλλοίωσιν τήνδε γίνεται

περιττώματα τῷ σπλάγχνῳ, ταῦτα δι᾽ ἑτέρας δυνάμεως, ἣν ὀνομάζομεν ἐκκριτικὴν καὶ ἀποκριτικὴν ἀπωθεῖται. δεδειγμέναι δέ εἰσιν αἱ δυνάμεις
13.194 αἵδε πᾶσαι τοῖς τοῦ σώματος ὑπάρχουσαι μορίοις, ἐν ἅπαντι τῷ τῆς ζωῆς χρόνῳ. πάντα γὰρ ἕλκει τὸ οἰκεῖον ἑαυτῷ καὶ ἀποκρίνει τὸ ἀλλότριον, ἀλλοιοῖ τε τὸ ἐλχθὲν, ἔν τε τῷ χρόνῳ, καθ᾽ ὃν ἀλλοιοῖ, κατέχει τε καὶ σφίγγει. καλεῖται δὴ ἀλλοίωσις αὕτη, μέχρι μὲν ἂν εἰς ὁμοιότητα τοῦ τρεφομένου μορίου μεταβάλληται, πέψις, ὅταν δὲ ἤδη προστίθεται τῷ μορίῳ, θρέψις. ὅταν μὲν οὖν ἕλκειν ἐκ τῆς κοιλίας τε καὶ τῶν ἐντέρων τὴν τροφὴν ἀτονήσῃ τὸ ἧπαρ, ὑγρὰ καὶ ἀνεκχύμωτα ἐκκρίνεται διὰ τῆς ἕδρας. ἐὰν μὲν ἡ γάστηρ συνατονῇ τῷ πλάγχνῳ μὴ πέττουσα καλῶς, ἠπεπεπτημένα, ἐὰν δὲ εὐρωσθῇ, πεπεμμένα μὲν, ἀλλ᾽ ὑγρὰ διὰ τὸ μηδεμίαν ἢ βραχεῖάν γε τὴν ἐξ αὐτῆς ἀνάδοσιν εἰς τὸ ἧπαρ γεγονέναι. ἐὰν δὲ ἕλκῃ μὲν τὸ ἧπαρ ἐφ᾽ ἑαυτὸ τὴν ἐκ τῆς κοιλίας τε καὶ τῶν ἐντέρων τροφὴν, αἱματοῦν δ᾽ αὐτὴν ὑπ᾽ ἀτονίας ἀδυνατῇ, καθάπερ ἐν τῇ γαστρὶ πολυειδὴς ἡ φθορὰ γίνεται τῶν ἀπεπτηθέντων, οὕτω καὶ κατὰ τὸ ἧπαρ. καλῶ δὲ νῦν ἀπεψίαν μόνην, οὐ περιλαμβάνων τῷ λόγῳ τὴν
13.195 βραδυπεψίαν. εἰ δὲ βούλει, κἀπειδὰν τροφὴ ὠμὴ διαμείνῃ τὴν κατὰ φύσιν ὑπὸ τοῦ μορίου γενομένην ἀλλοίωσιν οὐκ εἰληφυῖα, καὶ ταύτην ἄπεπτον καλεῖν, οὐδ᾽ ἐγὼ φεύγω τὴν προσηγορίαν, ἐάν μοι μόνον ἡ διαφορὰ τῶν πραγμάτων φυλάττηται. χεῖρον μὲν γάρ ἐστιν ἡ εἰς ἀλλόκοτον ποιότητα μεταβολὴ κατὰ τὴν ἀπεψίαν γινομένη, μετριώτερον δὲ καθ᾽ ἣν ἐπὶ πλεῖστον φυλάττει τὴν ἑαυτῆς φύσιν ἡ τροφὴ μηδεμίαν ἐν τῷ πεφυκότι πέττειν αὐτὴν ἀλλοίωσιν εἰληφυῖα. καὶ μὴν καὶ τρίτον τι παρὰ ταῦτά ἐστιν εἶδος ἀποτυχίας πέψεως, ὅταν ἡμίπεπτος ἡ τροφὴ γίνηται, καὶ κατ᾽ αὐτήν γε τὴν ἀποτυχίαν τῆς ἀκριβοῦς πέψεως τοῖς ἡπατικοῖς ἐκκρίνεται διὰ τῆς κοιλίας αἱματώδης χυμὸς, τοιοῦτος δὲ τῇ συστάσει, καθάπερ εἴ τις ὕδατι κεράσειεν αἷμα. καὶ πολλοὶ τῶν ἰατρῶν ἔγραψαν, εἰκάζοντες αὐτοῦ τὴν σύστασιν, ὡς ἂν εἰ νεοσφαγοῦς ἱερείου τὰ κρέα πλύνειέ τις ὕδατι. καὶ πλεῖσταί γε τῶν ἡπατικῶν διαθέσεων ἀπὸ τοιούτων ἐκκρίσεων ἄρχονται, μήπω μεγάλην ἀτονίαν ἔχοντος τοῦ ἥπατος, ἀλλ᾽ ἔτι πέττειν τε καὶ μεταβάλλειν τὴν τροφὴν εἰς τὴν οἷον
13.196 ὑπογραφὴν τοῦ αἵματος δυναμένου. αὐξηθέντος δὲ τοῦ πάθους οὐκ ἔτι μὲν οὐδὲν τοιοῦτον ἐκκρίνεται, ἀλλὰ πολυειδεῖς ἄλλαι ποιότητές τε καὶ

συστάσεις, ὥσπερ ἀπὸ τῆς γαστρὸς ἀπεπτούσης. ἀλλ᾽ ἐν μὲν τῇ γαστρὶ τῶν σιτίων αὐτῶν αἱ διαφοραὶ σαφῶς φαίνονται, κατὰ δὲ τὸ ἧπαρ τῆς ἀναδοθείσης τροφῆς μιγνυμένης τῷ προϋπάρχοντι κατὰ τὸ σπλάγχνον αἵματι. συνδιαφθείρεται γὰρ ἐν τῷ χρόνῳ καὶ τοῦτο τῇ μὴ πεφθείσῃ κατ᾽ αὐτὸ τροφῇ. θερμῆς μὲν οὖν κατὰ τὸ σπλάγχνον τῆς δυσκρασίας οὔσης αἱ συντήξεις γίνονται, πρῶτον μὲν τῶν χυμῶν, εἶτα καὶ τῆς σαρκὸς αὐτῆς τοῦ ἥπατος, καὶ κενοῦται διὰ τῆς γαστρὸς δυσώδης πάνυ χολὴ παχεῖα καὶ κατακορὴς τῇ χροιᾷ, καθάπερ ἐν τοῖς λοιμώδεσι πυρετοῖς. ψυχρᾶς δὲ δυσκρασίας οὔσης οὔτε συνεχεῖς ἐκκρίσεις οὔτε πολλαὶ γίνονται. χρονίζει δὲ τὸ πάθος καὶ δι᾽ ἡμερῶν τινων καταρρήσσει ἡ γαστὴρ αὐτοῖς ἀθροώτερον, οὔθ᾽ ὁμοίαν ἐχόντων τὴν δυσωδίαν τοῖς διὰ θερμότητα συντακεῖσιν οὔθ᾽ ὁμοίαν τὴν χρόαν ἢ τὴν σύστασιν, ἀλλ᾽ ἧττόν τε δυσώδη διαχωρεῖται τούτοις, ἰδέαν τε σεσηπότος αἵματος, οὐ
13.197 συντετηκυίας ἔχοντα σαρκὸς, ἐνίοτε δ᾽ ἄν σοι τὸ διαχωρούμενον οἷον αἷμα μέλαν εἶναι φανείη, θεωροῦντι δὲ ἀκριβῶς οὔτε αἷμα μέλαν ἐστὶν οὔτε θρόμβος, ἀλλ᾽ οἷον ἰλύς τις αἵματος παχέος ἐγγὺς τῇ μελαίνῃ χολῇ, καὶ πλείω γε καὶ δύσκριτα χρώματα κατὰ τὴν τοιαύτην διάθεσιν ἐμφαίνεται τοῖς διαχωρουμένοις. ἐν ἀμφοτέραις δὲ ταῖς δυσκρασίαις τῇ τε κατὰ θερμότητα καὶ τῇ κατὰ ψυχρότητα, μιχθείσης τῆς καθ᾽ ὑγρότητα καὶ ξηρότητα δυσκρασίας, ὑγρότερα μὲν ἐπὶ τῆς καθ᾽ ὑγρότητα, ξηρότερα δὲ ἐπὶ τῆς κατὰ ξηρότητα τὰ διαχωρήματα γίνεται. ὁ σκοπὸς οὖν τῆς θεραπείας ἐν τοῖς τοιούτοις παθήμασι γίνεται, κοινὸς μὲν κατὰ τὴν ἐναντίωσιν τῆς δυσκρασίας, καθ᾽ ἑκάστην δὲ ἴδιος ὁ καθ᾽ ἑκάστην ἐναντίος. τὸ μὲν οὖν ἡπατικὸν ἰδίως ὀνομαζόμενον πάθος, ὥσπερ οὖν καὶ τὸ κοιλιακόν τε καὶ στομαχικὸν, ἄνευ τοῦ κατὰ τὰ μόρια παρὰ φύσιν ὄγκου γίνεται, φλεγμαίνειν μὲν ἧπαρ ἢ ἀφίστασθαι λεγόντων ἢ σκιρροῦσθαι τῶν ἰατρῶν ἤ τι τοιοῦτον ἕτερον πάσχειν, οὐ μὴν ἡπατικόν γε καλούντων τὸν ἄνθρωπον αὐτὸν, ᾧ συμβαίνει τι τούτων· ἀλλ᾽ ὅταν
13.198 ἄνευ φανεροῦ τινος ἐν τῷ σπλάγχνῳ κακοῦ περὶ τὰς οἰκείας ἐνεργείας ἀτονῇ, τηνικαῦτα τὸν κάμνοντα προσαγορευόντων ἡπατικόν. ἴδωμεν οὖν πρῶτον ἃ γεγράφασιν οἱ πρὸ ἡμῶν ἄριστα πραγματευόμενοι περὶ φαρμάκων, ἀπὸ τῶν ὑπ᾽ Ἀνδρομάχου τὴν ἀρχὴν ποιησάμενοι. οὗτος γὰρ ἀνὴρ ἐν τῇ τῶν ἐντὸς παθῶν ἰάσεις ἐχούσῃ βίβλῳ πολλὰς ἔγραψε

δυνάμεις ἡπατικὰς, ὧν ἁπασῶν μνημονεύσω, κἀνταῦθα κατὰ τὴν ἐκείνου λέξιν αὐτοῦ γεγράψεται τὰ φάρμακα, καὶ πρῶτόν γε αἱ ἀντίδοτοι. τὸ πρῶτον γεγραμμένον αὐτοῖς ὀνόμασιν ὠδί πως.

Τὰ ὑπ᾽ Ἀνδρομάχου γεγραμμένα πρὸς ἡπατικοὺς φάρμακα. Ἀνδρομάχου πρὸς ἡπατικοὺς κυφοειδὴς καὶ πρὸς τὰ ἐν θώρακι πάντα. ϗ σταφίδος σαρκὸς ϲ κε′. οἱ δὲ ϲ ρ′. κρόκου ϲ α′. οἱ δὲ τριώβολον· καλάμου ϲ β′ ′′. βδελλίου ϲ β′ ′′. κασσίας ϲ α′ ′′. κινναμώμου τριώβολον, ναρδοστάχυος ϲ γ′. σχοίνου ἄνθους ϲ β′ ′′. σμύρνης ϲ δ′. τερμινθίνης ϲ δ′. οἱ δὲ ϲ ιστ′. ἀσπαλάθου ῥινήματος ϲ β′. μέλιτος ϲ ιστ′. οἴνου τὸ ἀρκοῦν. αὕτη μὲν ἡ τῆς ἀντιδότου γραφή. κέκληκε δὲ ταύτην κυφοειδῆ
13.199 διὰ τὴν ὁμοιότητα. καὶ γὰρ ὀσμῇ καὶ γεύσει παραπλήσιός ἐστι τῷ κύφει καλουμένῳ πρὸς Αἰγυπτίων, οἵπερ δὴ καὶ πρῶτοι συνέθεσάν τε τὸ φάρμακον τοῦτο καὶ χρῶνται θυμιῶντες ἑκάστοτε τοῖς θεοῖς. τὰ πλεῖστα δ᾽ ἐστὶ τῶν ἐν ἐκείνῳ τῷ θυμιάματι γεγραμμένων τὰ αὐτὰ τοῖς ἐν τῷδε τῷ φαρμάκῳ, καὶ μέντοι καὶ θυμιᾶσθαι τοῦτ᾽ αὐτὸ δύναται παραπλησίως τῷ κύφει. σύγκειται δὲ ἔκ τε τῶν μετρίως στυφόντων καὶ ξηραινόντων τε καὶ διαφορούντων ἰχῶρας μοχθηροὺς καὶ ἐπανορθουμένων τὴν κακοχυμίαν, ἔτι τε ἐκ τῶν ἐναντιουμένων ταῖς σηπεδόσιν, ὧν τὰ πλεῖστα τῆς τῶν ἀρωμάτων ἐστὶν ὕλης. ἔχει γοῦν τὸ φάρμακον τοῦτο κιννάμωμον, πάσας ἐπανορθοῦν τὰς σηπεδονώδεις τε καὶ δηλητηρίους δυνάμεις, οὐ μόνον ἰχώρων τε καὶ χυμῶν, ἀλλὰ καὶ θανασίμων φαρμάκων, ὥσπερ γε καὶ τοῖς ἰοβόλοις ὀνομαζομένοις θηρίοις ὑπαρχόντων ἰῶν. ἐφεξῆς δὲ τοῦ κινναμώμου καὶ ἡ κασσία τὴν αὐτὴν ἔχει δύναμιν, ἡ ἀρίστη τε καὶ συγγενὴς αὐτῷ καὶ μετὰ ταύτην τῶν ἀρωμάτων
13.200 ἅπαν γένος, ὥσπερ ἐνταῦθα νάρδος τε καὶ σχοῖνος καὶ κάλαμος καὶ σμύρνα. ταῦτα γὰρ ἐμβέβληται τῷ προκειμένῳ φαρμάκῳ κατὰ τὸν εἰρημένον ἄρτι λογισμὸν καὶ τρόπον, ὥσπερ γε καὶ τῶν παρ᾽ ἡμῖν γενομένων ὅ τε ἀσπάλαθος καὶ ὁ κρόκος, στυπτικόν τε καὶ πεπτικὸν ὑπάρχον φάρμακον, ἐπανορθούμενόν τε σηπεδόνας. ἡ δὲ σταφὶς εὐκαταφρόνητος μὲν εἶναι δόξει διὰ τὸ σύνηθες, αὐτὸ δὲ τοῦτο αὐτὴν ἐργάζεται χρησιμωτέραν, ὅτι συνήθης ἡμῖν οὖσα στυπτικὸν ἐπὶ τοσοῦτόν ἐστιν, ὅσου δεῖται τὸ πεπονθὸς σπλάγχνον. ἔχει δὲ καί τι πεπτικὸν τῶν ἀπέπτων χυμῶν, ἐπικρατητικόν τε τῶν κακοήθων, αὐτή τε δύσσηπτός

ἐστι καὶ προσέτι καθ᾽ ὅλην τὴν οὐσίαν οἰκεία τῷ σπλάγχνῳ. μεμαθήκαμεν γὰρ ὡς αἱ τροφαὶ τοῖς τρεφομένοις τὴν οἰκειότητα καθ᾽ ὅλην τὴν ἑαυτῶν οὐσίαν κέκτηνται, ὅπερ ἐστὶ μέγιστον ἐν ταῖς τῶν τοιούτων παθῶν θεραπείαις, ὅσα κατὰ δυσκρασίαν γένηται. κάλλιστα γὰρ ἐπ᾽ αὐτῶν ἐνεργεῖ τὰ πρὸς τῷ τὴν δυσκρασίαν ἰᾶσθαι τρέφειν δυνάμενα,
13.201 καὶ διὰ τοῦτο καὶ ὁ οἶνος ἐπιτηδειότατός ἐστι τοῖς ἄνευ φλεγμονῆς ἢ ἐρυσιπέλατος ἢ ἀποστήματος ἢ θερμῆς δυσκρασίας κάμνουσιν. καὶ γὰρ τρέφει καὶ πέττει καὶ τονοῖ καὶ σηπεδόσιν ἀνθίσταται, κἂν δυσκρασία τύχῃ γεγονυῖα καθ᾽ ὑγρότητα καὶ ψύξιν, ἀλύπως τε καὶ ἀσφαλῶς αὐτὴν ἰᾶται. τὰ δ᾽ αὐτὰ καὶ τῷ μέλιτι πρόσεστι, πλὴν τοῦ μὴ συνάγειν τὴν οὐσίαν τῶν σωμάτων οἷς ἂν ὁμιλῇ, ἀλλ᾽ ἀντὶ τούτου διαρρύπτειν τε καὶ ἀναστομοῦν καὶ καθαρὰς ἐργάζεσθαι τὰς διεξόδους, ἐπ᾽ οὖρά τε προτρέπειν οὐ μικρὰ βοηθήματα κέκτηται. μέμικται δὲ ὑπὸ τοῦ συνθέντος τὸ φάρμακον καὶ βδέλλιον, ἱκανῶς μαλάττον τε καὶ πέττον, ὡς ἐμάθομεν, ἔτι τε μετρίως διαφοροῦν. ὁμοίως δέ πως αὐτῷ καὶ ἡ τερμινθίνη ῥητίνη δύναμιν ἔχει πρὸς τὸ διαρρύπτειν τε καὶ διακαθαίρειν τὰς στενὰς διεξόδους, ὧν καὶ αὐτῶν δεῖται τὸ θεραπευόμενον σπλάγχνον, ὅπως αἱ συναναστομώσεις τῶν κατὰ αὐτὸ φλεβῶν ἀναπεπταμέναι τε καὶ ἔκφρακτοι διαμένωσιν. μεμαθήκαμεν γὰρ ὅπως ἡ ἔμφραξις ἐργάζεται τὰς σηπεδόνας. ἔνιοι μέντοι τῶν συνθέντων τὰς τοιαύτας δυνάμεις, καθάπερ καὶ πρόσθεν ἐπὶ τῶν στομαχικῶν ἐδείκνυτο,
13.202 μίξαντες ὄπιον ἢ ὑοσκύαμον ἤ τι τῶν ἄλλων ὅσα ψύχει, πρὸς τὰς θερμὰς δυσκρασίας χρήσιμον εἰργάσαντο φάρμακον καὶ διὰ τοῦτο καὶ ἡ Φίλωνος ἐνίοτε θαυμαστῶς ὅπως ἅπαξ δοθεῖσα δυσκρασίαν ἡπατικὴν ἰάσατο, καὶ τοῦτο αὐτῇ καὶ ὁ συνθεὶς αὐτὴν ἐμαρτύρησεν. ἀλλὰ τῶν γε ὑπ᾽ Ἀνδρομάχου γεγραμμένων φαρμάκων ἡπατικῶν οὐδέν ἐστι τοιοῦτον, καὶ μέντοι καὶ σφοδρῶς ψυκτικὸν οὐδὲν εἶναι προσήκει, ἀλλ᾽ ὁποῖα γέγραπταί τισιν ἄλλοις τε καὶ τῷ Ἀσκληπιάδῃ. νῦν οὖν ὅσας ἐφεξῆς ἔγραψεν ὁ Ἀνδρόμαχος ἡπατικὰς ἀντιδότους ὑπογράψω, μεμνημένων ἡμῶν οὐδεμίαν αὐτῶν ἁρμόττειν θερμαῖς δυσκρασίαις, ἀλλ᾽ ἢ ταῖς ὑγραῖς ἢ ταῖς ψυχραῖς ἢ ταῖς ἐξ ἀμφοτέρων συνθέτοις, ἢ εἴπερ ἄρα ταῖς μὲν ὑγραῖς ἰσχυρῶς, μετρίως δὲ θερμαῖς. γεγράψονται δὲ πᾶσαι κατὰ τὴν αὐτοῦ Ἀνδρομάχου λέξιν.

Ἄλλη κυφοειδὴς πρὸς ἡπατικοὺς ἐκ τῶν Γάλλου καὶ βῆχας καὶ ἀναγωγάς. ⁊ Κρόκου, κινναμώμου ἀνὰ ⸉ α′. σμύρνης ⸉ α′. βδελλίου ⸉ δ′. ἀσπαλάθου τετρώβολον, σχοίνου ⸉ γ′. καλάμου ⸉ β′. κασσίας ⸉ α′. νάρδου
13.203 Ἰνδικῆς ⸉ α′. τερμινθίνης ⸉ στ′. σταφίδος σαρκὸς ⸉ ρξ′. μέλιτος κοτύλης ′′. οἴνου Χίου εἰς τὸ βρέξαι τὴν σταφίδα καὶ τὸ βδέλλιον καὶ τὴν σμύρναν, τὴν δὲ ῥητίνην τήξας τῷ μέλιτι, εἶτα πάντα συμμίξας καὶ λεάνας ἀπόθου. πρὸς ἡπατικοὺς καὶ ἰκτερικούς. ⁊ καρύων πικρῶν ⸉ β′. ἀνίσου ⸉ α′. ἀψινθίου, κυμίνου, σελίνου σπέρματος ἀνὰ ⸉ α′. κέρατος ἐλαφείου τριώβολον, λεάνας σὺν ὕδατι τροχίσκους ποίει τριωβολιαίους, δίδου ἕνα πρωΐ καὶ δείλης σὺν οἰνομέλιτι. πρὸς ἡπατικοὺς καὶ ἰκτερικοὺς ἡ Νεκτάρειος. ⁊ ἑλενίου λίτραν α′ ′′. κροκομάγματος λίτρας β′. ἀριστολοχίας γο α′. πετροσελίνου γο α′. πεπέρεως μέλανος γο ′′. σμύρνης γο α′. μέλι τὸ ἱκανόν.

Ἡπατικὴ ἀθανασία καλουμένη. ποιεῖ καὶ πρὸς νεφριτικοὺς καὶ ἰκτερικούς, κινεῖ δὲ ἱδρῶτα πολύν. ⁊ Κρόκου ⸉ β′. κινναμώμου ⸉ α′. νάρδου ⸉ β′. κασσίας, σμύρνης, σχοίνου ἀνὰ ⸉ α′. μέλιτι Ἀττικῷ ἀναλάμβανε. ἡ δόσις κυάμου Ἑλληνικοῦ τὸ μέγεθος, πυρέσσουσι μεθ’ ὑδρομέλιτος.

13.204 Ἡπατικὴ θαυμαστή, ᾗ Φαρνάκης ὁ ῥιζοτόμος παθὼν ἐχρήσατο. ⁊ Κρόκου ⸉ β′. μήου, ἀσάρου, φοῦ Ποντικοῦ, δαύκου, πετροσελίνου, σμύρνης ἀνὰ ⸉ δ′. νάρδου Ἰνδικῆς καὶ Κελτικῆς ἀνὰ ⸉ στ′. κόστου, κασσίας, σχοίνου ἀνὰ τριώβολον, βαλσάμου καρποῦ ⸉ γ′ ′′. ἐρυθροδάνου ⸉ η′. γλυκείας χυλοῦ ⸉ γ′. ἡμιονίτιδος βοτάνης ⸉ γ′. πολίου ⸉ γ′. ὀποῦ βαλσάμου ⸉ στ′. μάγματος ἡδυχρόου ⸉ ε′. μέλιτος τὸ ἱκανὸν χρῶ. πρὸς πάντα τὰ πάθη ἐνεργεῖ, καρύου Ποντικοῦ τὸ μέγεθος μετ’ οἰνομέλιτος.

Ἡπατικὴ παρὰ Νεάρχου ἐπαινουμένη. ⁊ Πάνακος ῥίζης, ἐρυθροδάνου, ἠρυγγίου ῥίζης, εὐπατορίου, ἑλενίου ῥίζης, πολίου, κόστου, ἀριστολοχίας, πεπέρεως, σκολοπένδρου βοτάνης, σικύου σπέρματος, χαμαιπίτυος, γεντιανῆς ῥίζης, Σινώπιδος μίλτου, χολῆς ἀρκείου, ναρδοστάχυος, ἀρκευθίδων, κράμβης σπέρματος, εὐζώμου σπέρματος, ἑκάστου ἴσον μέλιτι Ἀττικῷ ἑφθῷ ἀναλαβὼν χρῶ. ἡπατικὴ ἡ τοῦ Διοσκόρου. ⁊ κινναμώμου, κασσίας ἀνὰ ⸉ δ′. κρόκου, νάρδου, κόστου,

13.205 βαλσάμου καρποῦ, ὑπερικοῦ, γλυκυρρίζης ἀνὰ ⸂ η′. μέλιτι Ἀττικῷ δίδου καρύου Ποντικοῦ τὸ μέγεθος. ἄλλη πρὸς ἡπατικοὺς καὶ τὰ λοιπὰ τὰ ἐντὸς, ὡς Ἀριστοκλῆς. ⁋ πεπέρεως κόκκους μ′. σμύρνης ⸂ η′. κρόκου, κόστου, μήου, ἀκόρου, νάρδου, δαύκου σπέρματος, πετροσελίνου, σκορδίου ἀνὰ ⸂ δ′. κινναμώμου ⸂ ιβ′. κασσίας ⸂ ιβ′. μέλιτος τὸ ἀρκοῦν, ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος. πότιμα πρὸς ἡπατικοὺς, σπληνικοὺς, νεφριτικοὺς, ὑδρωπικοὺς, ὠφελεῖ καὶ στομαχικοὺς καὶ τὰς ἐκ τόκων ἐνοχλουμένας, καὶ πρὸς σπασμοὺς καὶ πρὸς τοὺς ἀπ᾽ ἀρρωστίας ἀναλαμβάνοντας καὶ κακοχύμους καὶ ἰκτερικοὺς καὶ βῆχας καὶ πλευριτικοὺς, ἀντίδοτος καὶ πρὸς τὰ θανάσιμα φάρμακα καὶ τὰς τῶν θηρίων πληγάς. ⁋ νάρδου Ἰνδικῆς ⸂ β′. κόστου ⸂ β′. κασσίας ⸂ α′. κρόκου ⸂ α′. πεπέρεως λευκοῦ ὀβολοὺς ε′. ἐν ἄλλῳ ⸂ β′. σελίνου σπέρματος ⸂ α′. τετρώβολον, ἴρεως Ἰλλυρικῆς ἴσον, ἀκόρου ⸂ α′. ὀβολὸν α′. ὀποβαλσάμου ⸂ α′. ἄρου ἀρσενικοῦ ὀποῦ ⸂ γ′. σταφίδος ἀγιγάρτου ⸂ στ′. λεάνας σὺν τῷ γλυκεῖ ἢ μέλιτι ἀναλάμβανε καὶ δίδου ⸂ α′. μετ᾽ οἴνου
13.206 γλυκέος κεκραμένου ἢ ὑδρομέλιτος κυάθων τεσσάρων ἢ ὡς ἂν ἁρμόττῃ. αὗται μέν εἰσιν αἱ ὑπὸ Ἀνδρομάχου γραφεῖσαι δυνάμεις ἡπατικαὶ, μεταβήσομαι δὲ ἤδη πρὸς τὰς ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένας ἐν τῷ τρίτῳ τῶν ἐντὸς, ἃς Μνάσωνος ἐπιγράφει.

Αἱ ὑπ᾽ Ἀσκληπιάδου γραφεῖσαι δυνάμεις ἡπατικαί. Πρώτην μὲν ἔγραψεν, ἣν Ἀντωνίου Μούσα φησὶν εἶναι, συγκειμένην οὕτω. κιχωρίου χυλίσματος κύαθον α′. δίδου μεθ᾽ ὕδατος θερμοῦ κυάθων γ′. ἐπιβαλὼν μέλιτος Ἀττικοῦ κοχλιάριον· ἢ πτέρεως καὶ ἀνήθου χυλοῦ κύαθον α′. μετὰ μελικράτου κυ. γ′. ἢ ἴρεως ἁπαλῆς ἢ σέρεως ἁπαλῆς τοῦ χυλοῦ κύαθον α′. μετὰ μελικράτου θερμοῦ κυάθων τριῶν. αὕτη ἡ πρώτη γραφὴ κατὰ τὸ τοῦ Ἀσκληπιάδου βιβλίον ἐστὶ φαρμάκων τριῶν. τὰ μὲν οὖν κιχώρια καὶ ἡ σέρις ἐκ τῶν ἐδωδίμων εἰσὶν, παρ᾽ ἡμῖν γοῦν οἱ κατὰ τοὺς ἀγροὺς ἐσθίουσιν ἄμφω ταῦτα καὶ ὠμὰ καὶ ἑφθά. χρῆται δὲ αὐτοῖς καὶ ὁ Ἐρασίστρατος ἱκανῶς, ἐν οἷς θεραπεύει τὰ κατὰ τὴν κοιλίαν πάθη, δύναμις δὲ τῶν λαχάνων τούτων ἐστὶν ὑπόψυχρός τε καὶ ὑπόπικρος καὶ
13.207 μετρίως στύφουσα, καὶ διὰ ταύτας γε τὰς ποιότητας ἄριστα φάρμακα ταῖς θερμαῖς δυσκρασίαις ἐστὶ τοῦ ἥπατος. πρὸς γὰρ τῷ ψύχειν μετρίως ἔτι καὶ τόνον ἐντίθησι τῷ σπλάγχνῳ διὰ τῆς στύψεως, ἔτι τε ἀναρρύπτει τὰς

συναναστομώσεις τῶν ἐν τοῖς σιμοῖς τοῦ σπλάγχνου φλεβῶν πρὸς τὰς ἐν τοῖς κυρτοῖς, οὐ μὴν οὐδὲ τὰς ψυχρὰς δυσκρασίας βλάπτει μεγάλως, ὥσπερ ὅσα ψυχρὰν ὑγρότητα κέκτηται χωρὶς στύψεως ἢ πικρότητος. ὠφελεῖν δὲ δύναται τὸ σπλάγχνον ἡ τῶν τοιούτων λαχάνων οὐσία, κἂν ἄνευ χυμῶν ἢ ἰχώρων μοχθηρῶν γίνηται ἡ δυσκρασία καθ' αὐτὸ καὶ μεθ' ὑγρότητος ἡστινοσοῦν. ἐν γὰρ τῇ μίξει τοῦ μέλιτος ἐπ' οὖρα προάγει τὴν ὑγρότητα, διὸ κἂν ξηρανθέντα κόψας ἐπιπάσῃ τις τῷ ποτῷ, καὶ οὕτως ὀνίνησι, καὶ μέντοι καὶ ἀφεψημένων τὸ ἀφέψημα πινόμενον ὠφέλιμον ἱκανῶς ἐστιν. εἰ δὲ μὴ θερμή τις ἐνοχλοίη δυσκρασία ἢ κἂν μόνον ἔμφραξίς τις εἴη κατὰ τὸ σπλάγχνον, ὠφελεῖ μεγάλως δι' οἴνου λευκοῦ λεπτοῦ πινόμενα μετὰ τῶν οὖρα κινούντων. χρήσιμος δὲ οὐ μόνον ὁ
13.208 χυλὸς αὐτῶν ἐστι πρόσφατός τε καὶ ἐξηραμμένος, ἀλλὰ κἂν ξηραινόμενα κόψας καὶ λειώσας ἐπιμελῶς ἐπιπάττοι τις τῷ ποτῷ, κἂν ἀφεψήσας πίνοι. πρὸς δὲ τὸ διακαθᾶραι τὸ σπλάγχνον, ἀναστομῶσαί τε τὰς διεξόδους αὐτοῦ χωρὶς τοῦ θερμῆναι σαφῶς ἢ ψῦξαι, κάλλιστον φάρμακον ἡ πτέρις ἐστὶν, ἐπικρατοῦσαν ἔχουσα τὴν πικρὰν ποιότητα. τὸ δ' ἄνηθον οὐδὲν ἰσχυρὸν ἔχει πρὸς τὰς τοιαύτας διαθέσεις, ἀλλ' ἔστιν ἐψυγμένου μετρίως καὶ πεπυκνωμένου τοῦ σπλάγχνου θεραπευτικόν. καὶ τὸ διὰ τῆς χαμαιπίτυος δὲ καταπότιον, οὗ καὶ αὐτοῦ μέμνηται, τῆς αὐτῆς ἐστι δυνάμεως τοῖς εἰρημένοις. πικρὸν γὰρ καὶ τοῦτό ἐστι τὸ φάρμακον, οὐδὲν οὖν θαυμαστόν ἐστιν αὐτήν τε καθ' ἑαυτὴν πινομένην τὴν χαμαιπίτυν ὠφελεῖν τὰς ἡπατικὰς δυσκρασίας καὶ μετὰ κιχωρίου, καθάπερ ὁ Ἀσκληπιάδης ἔγραψεν ὡδί πως αὐτοῖς ὀνόμασιν.

Καταπότιον ἡπατικοῖς. ℞ Χαμαιπίτυος ῥίζης ⩽ η′. κιχωρίου ῥίζης ⩽ δ′. κόπτε καὶ ἀναλάμβανε μέλιτι ἑφθῷ, δίδου καρύου Ποντικοῦ τὸ μέγεθος καὶ ὕδατος θερμοῦ ἐπιπίνειν κυάθους γ′. ταῦτα μὲν ὁ Ἀσκληπιάδης
13.209 ἔγραψεν, ὠφελοῦσι δὲ αἱ εἰρημέναι βοτάναι τοὺς ἡπατικοὺς, οὐ μόνον ἐὰν τῶν ῥιζῶν τις αὐτῶν προσφέρηται, σκευάσας ὡς ὁ Ἀσκληπιάδης ἔγραψεν, ἀλλὰ κἂν τὸν χυλὸν ἢ τὸ ἀφέψημα ἢ ξηρὰν τὴν κόμην μετὰ τοῦ καρποῦ κόψας καὶ λειώσας προσφέρῃ. καὶ ἡ τῆς σφενδάμνου δὲ ῥίζα, κοπεῖσα καὶ λειωθεῖσα, καὶ γὰρ καὶ ταύτης μέμνηται, τῆς αὐτῆς ἐστι τοῖς εἰρημένοις δυνάμεως. δίδωσι δὲ ταύτης ⩽ α′. μεθ' ὕδατος κεκραμένου κυάθων γ′. καὶ τὸ διὰ τῆς νάρδου δὲ τῆς Κελτικῆς φάρμακον, οὗ καὶ

αὐτοῦ μέμνηται, τούτοις ἐστὶ παραπλήσιον. ἔγραψε δ᾽ οὕτως αὐτό. ⁋ νάρδου Κελτικῆς μέρη γ ′ . ἀψινθίου μέρος ἓν, κόψας καὶ σήσας ἀναλάμβανε μέλιτι ἑφθῷ καὶ δίδου ἐκλείχειν μύστρον. καὶ τὸ τούτῳ γεγραμμένον ἐφεξῆς παραπλήσιον ὑπάρχον αὐτῷ κατὰ τὰ ἄλλα πλέον ἔχει τὸ δι᾽ οὔρων μᾶλλον ἐκκαθαίρειν τὸ σπλάγχνον. ἔγραψε δ᾽ οὕτως ὁ Ἀσκληπιάδης περὶ αὐτοῦ. τροχίσκος ἡπατικὸς ὁ πικρός. ⁋ ἀνίσου, σπέρματος σελίνου, ἀσάρου, ἀμυγδάλων πικρῶν κεκαθαρμένων, ἀψινθίου, ἑκάστου ἀνὰ ‹ δ′. σκεύαζε δι᾽ ὕδατος καὶ ἀνάπλασσε
13.210 τροχίσκους καὶ δίδου ‹ α′. ἀπυρέτοις μετ᾽ οἴνου κεκραμένου κυάθων γ′. πυρέττουσι μεθ᾽ ὑδρομέλιτος. τοῦτο τὸ φάρμακον ἠρέμα πώς ἐστι θερμὸν διὰ τὴν τῶν οὐρητικῶν μίξιν. τὰ δ᾽ ἄλλα πάντα τὰ πρόσθεν ἢ ἐπικρατοῦσαν ἔχει τὴν ψύξιν ἢ πάντως οὔτε ταύτην οὔτε τὴν θερμότητα. τὸ μέντοι διαρρύπτειν τε καὶ τὰς ὁδοὺς τῆς ἀναδόσεως ἐκφράττειν ἔχει πάντα. καὶ ἄλλα δέ τινα φάρμακα γέγραπται τῷ Ἀσκληπιάδῃ τὸ μὲν διαρρύπτειν καὶ ἐκφράττειν καὶ τέμνειν ἔχοντα, βραχεῖ δέ τινι τῶν μέσων ἕτερα θερμότερα. μέσα δὲ λέγω τὰ μήτε θερμαίνοντα μήτε ψύχοντα σαφῶς. ἓν δὲ ἐν αὐτοῖς τι τῶν θερμαινόντων ἐστὶν, ἔνθα φησὶ, κόστου λείου κοχλιάριον δίδου μετὰ μελικράτου θερμοῦ κυάθων γ′. τὰ δ᾽ ἄλλα ὅσα πλησίον τῆς μέσης κράσεως ὄντα πρὸς τὸ θερμότερον ῥέπει, ταῦτά ἐστιν. ⁋ ἑλενίου ‹ ιβ′. κροκομάγματος ‹ η′. ἀναλάμβανε κιχωρίου χυλῷ καὶ ποίει καταπότια καὶ δίδου πρὸς δύναμιν. ἡ τελεία δόσις ὁλκὴ καὶ οἰνομέλιτος κεκραμένου θερμοῦ κύαθοι γ′. τοῦτο τὸ φάρμακον
13.211 ἠδύνατο καὶ χωρὶς ἑλενίου ταῖς θερμαῖς δυσκρασίαις ἁρμόττειν. ἐπεὶ δὲ τὸ ἑλένιον ἐμίχθη τοῖς ῥυπτικοῖς, ἐπὶ τὸ θερμότερον ἔρρεψε, πλὴν εἰ μὴ παντελῶς ὀλίγον ἐπιμίσγοιτο πλείονι τῷ ψυχρῷ. καὶ μέντοι καὶ τὸ διὰ τοῦ μαράθρου τῶν θερμαινόντων ἐστὶν, ἔχον οὕτω. ⁋ μαράθρου ‹ α′. πετροσελίνου ‹ β′. ἀνίσου, ἀμυγδάλων πικρῶν, ἀψινθίου ἀνὰ ‹ α′. κρόκου, σμύρνης ἀνὰ τριώβολον, ὕδατι ἀναλάμβανε καὶ ἀνάπλασσε τροχίσκους καὶ δίδου ‹ α′. καθὼς ἀνώτερον προείρηται. καὶ γὰρ ἐνταῦθα τὸ μὲν μάραθρον καὶ τὸ πετροσέλινον ἱκανῶς θερμαίνει, τὰ ἄλλα μετρίως. τὰ δ᾽ ἀμύγδαλα τῆς λεπτυντικῆς ἐστι δυνάμεως, καὶ μᾶλλον ὅταν ᾖ πικρά. μέσον δέ πως τῶν θερμαινόντων τε καὶ ψυχόντων καὶ τοῦτό ἐστι τὸ φάρμακον, ὅπερ ὁ Ἀσκληπιάδης ἔγραψεν ὡδί πως.

ἐκλεικτὸν ἡπατικὸν Παυλίνου, ὠφελεῖ παραχρῆμα. χαμαιπίτυος ξηρᾶς λίτραν α . σμύρνης γο α . γλυκέος προτρόπου ξε. γ . ἔψε χαμαιπίτυν καὶ γλυκὺν, καὶ ὅταν τὸ γ . ὑπολειφθῇ, ἔκθλιβε τὸ ὑγρὸν καὶ τούτῳ ἐπιβαλὼν μέλιτος Ἀττικοῦ λίτρας . πάλιν ἔψε. μετὰ δὲ ταῦτα
13.212 ἐπίβαλλε τὸ σμύρνιον κινῶν συνεχῶς, καὶ ὅταν διαλυθῇ, ἄρας ἀπὸ τοῦ πυρὸς, ἀπόθου καὶ δίδου πρὸ τροφῆς μύστρον. ἔγραψε δὲ καὶ διὰ κοχλιῶν ὁ Ἀσκληπιάδης φάρμακον ἡπατικὸν τοιοῦτον. κοχλιῶν χερσαίων εὖ μάλα τὴν σάρκα λεάνας καὶ οἴνου μέλανος ἐπιβαλὼν κυάθους τρεῖς καὶ θερμήνας δίδου πίνειν. ἔοικε δὲ τὰ τοιαῦτα καθ’ ὅλην τὴν οὐσίαν ἐνεργεῖν, οὐ κατὰ μίαν ἢ δευτέραν ποιότητα, ὁποῖόν ἐστι καὶ τὸ λύκειον ἧπαρ, οὗ πεῖραν ἱκανὴν ἔχομεν. ἡ χρῆσις δὲ αὐτοῦ παραπλησία τοῖς κοχλίοις ἐστὶ, λειοῦται γὰρ ἀκριβῶς τὸ λύκειον ἧπαρ καὶ δίδοται ⸉ α΄. μετ’ οἴνου τῶν γλυκέων τινὸς, οἷοί πέρ εἰσιν Θηραῖος ὁ Κρητικὸς καὶ ὁ Σκυβελίτης, ὅ τε γλυκὺς πρότροπος. εὐμενεῖς γάρ εἰσιν οὗτοι τῷ σπλάγχνῳ, τρέφειν αὐτὸ δυνάμενοι καὶ μέσοι τῇ κατὰ τὸ ψυχρόν τε καὶ θερμὸν ἀντιθέσει, καὶ διὰ τοῦτο τὰ τοιαῦτα φάρμακα πάσαις ἁρμόττειν φαίνεται ταῖς δυσκρασίαις, ὡς ἂν τῇ τε τῆς οὐσίας ἰδιότητι τὴν ὠφέλειαν παρεχόμενα καὶ τῷ μήτε τὰς θερμὰς μήτε τὰς ψυχρὰς δυσκρασίας βλάπτειν. ἐπὶ μέντοι τῶν πυρεττόντων σαφῆ πυρετὸν ἢ οὐκ ἀμυδρῶς,
13.213 ὥσπερ εἴωθεν ἐνίοις τῶν ἡπατικῶν συμπίπτειν, ἄμεινόν ἐστι δι’ ὕδατος θερμοῦ διδόναι τὸ φάρμακον ἢ διά τινος τῶν εἰρημένων ἔμπροσθεν χυλῶν, ὁποῖός ἐστιν ὁ τῆς σέρεως. πρὸς τὰς τοῦ ἥπατος σκιρρώδεις διαθέσεις. καὶ πρὸς ταῦτα ἔγραψεν ὁ Ἀσκληπιάδης τέσσαρα φάρμακα τῇ λέξει τῇδε.

Οὐρητικὴ, ποιεῖ πρὸς τὰς σκιρρώδεις τοῦ ἥπατος διαθέσεις καὶ σπληνικοῖς καὶ τοῖς δυσαναλήπτοις καὶ ὑδρωπικοῖς καὶ καθόλου εὔχροιαν ἐμποιεῖ. ⸎ Κρόκου, νάρδου, κασσίας ἀνὰ ⸉ β΄. κόστου, σχοίνου ἄνθους, κινναμώμου, σμύρνης στακτῆς ἀνὰ ⸉ α΄. μέλιτος ἑφθοῦ ⸉ κε΄. ἡ δόσις κυάμου Αἰγυπτίου τὸ μέγεθος, μετ’ οἰνομέλιτος κυάθων γ′.

Ἄλλη ᾗ ἐχρήσατο Πασικράτης, ἄγει οὖρα πολλά. ⸎ Δαύκου σπέρματος ⸉ α΄ ΄΄. ῥήου Ποντικοῦ τῆς ῥίζης, σχοίνου ἄνθους, βαλσάμου καρποῦ, κεδρίδων, ἀνίσου, νάρδου Ἰνδικῆς, κρόκου, κινναμώμου, κασσίας, φοῦ,

ἀσάρου, πετροσελίνου, χαμαιπίτυος ἀνὰ ‹ α′ ′′. ἡδυόσμου ξηροῦ
13.214 τριώβολον, πυρήνων στροβίλων κεκαθαρμένων ἀριθμῷ ν′. ἀναλάμβανε μέλιτι ἑφθῷ καὶ δίδου καρύου Ποντικοῦ τὸ μέγεθος μετ᾽ οἰνομέλιτος κεκραμένου κυάθων τριῶν.

Ἀντίδοτος ἡ διὰ τῆς ἀρκείου χολῆς, φάρμακον ἐπιτετευγμένον πρὸς τὰς σκιρρώδεις τοῦ ἥπατος διαθέσεις. ⁋ Χαμαιπίτυος, πρασίου, πετροσελίνου σπέρματος, γεντιανῆς, ἄγνου σπέρματος, ἄρκτου χολῆς, νάπυος, σικύου σπέρματος, σκολοπενδρίου, πάνακος, μίλτου Λημνίας, ἐρυθροδάνου, κράμβης σπέρματος, ἀριστολοχίας, πεπέρεως, νάρδου Ἰνδικῆς, κόστου, σελίνου σπέρματος, εὐζώμου σπέρματος, ἠρυγγίου, πολίου, ἐχίου, εὐπατορίου, ἀρκευθίδων ἀνὰ ‹ α′. κόψας, σήσας, ἀναλάμβανε μέλιτι, ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος ἐν οἰνομέλιτι κυάθοις β′.

Ἄλλη ἐπιτετευγμένη. ποιεῖ καὶ πρὸς τὰς ἄλλας τῶν ἐντὸς διαθέσεις χωρὶς βηχός. ⁋ Γεντιανῆς ῥίζης, χαμαιπίτυος, πρασίου, πετροσελίνου σπέρματος, ἄρκτου χολῆς, νάπυος, σικύου σπέρματος, σκολοπενδρίου, πάνακος ῥίζης, μίλτου Σινωπίδος, ἐρυθροδάνου, κράμβης σπέρματος, ἀριστολοχίας μακρᾶς, πεπέρεως λευκοῦ, ναρδοστάχυος, κόστου, εὐζώμου
13.215 σπέρματος, ἠρυγγίου, ἀρκευθίδων, μελίας καρποῦ, χαμαίδρυος, δικτάμνου Κρητικοῦ, κέστρου σπέρματος, δαύκου σπέρματος ἀνὰ γο α′. μέλιτος Ἀττικοῦ τὸ αὔταρκες, ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος. τὸ δ᾽ ὑγρὸν γλυκέος Κρητικοῦ κύαθοι β′. τὸ φάρμακον δεδοκίμασται. ἐν ἄλλῳ ἀντιγράφῳ ἔχει καὶ πελεκίνου τὸ ἴσον. περὶ τῶν προγεγραμμένων τεσσάρων φαρμάκων καλῶς ἐποίησεν ὁ Ἀσκληπιάδης, οὐχ ἁπλῶς προσγράψας, ὥσπερ ἐπὶ τῶν ἄλλων, ὅτι πρὸς ἡπατικοὺς αὐτοῖς χρηστέον, ἀλλὰ προσθεὶς τὸ πρὸς τὰς σκιρρώδεις διαθέσεις. αἱ γὰρ καθ᾽ ὑγρότητα τοῦ σπλάγχνου διαθέσεις ἔκλυτον αὐτὸ καὶ ἄτονον πεφύκασι ποιεῖν, ὡς τὰ κεχαλασμένα τῶν ἄρθρων, ἐάν τε μετὰ ψύξεως, ἐάν τε μετὰ θερμότητος, ἐάν τε χωρὶς τούτων ἡ χάλασις αὐτοῖς μόνη συστῇ. πάντως μὲν γὰρ δέονται τῶν στυφόντων φαρμάκων, ἤτοι δὲ μετὰ τῆς τῶν θερμαινόντων μίξεως, ἐὰν ἐπικρατῇ ψυχρὰ ποιότης, ἢ μετὰ τῆς τῶν ψυχόντων, ἐὰν ἡ θερμή. τὰ δὲ σκιρρούμενα διὰ ψυχροὺς χυμοὺς καὶ παχεῖς καὶ γλίσχρους ἀναπεμπομένους ἐν τοῖς στερεοῖς σώμασι ψυχρὰν

13.216 ἐξ ἀνάγκης ἴσχει τὴν διάθεσιν, ὥστε καὶ τῶν θερμαινόντων τε ἅμα καὶ λεπτομερῶν δεῖται φαρμάκων. ταῦτα γὰρ ἱκανὰ καὶ τὴν τῶν ἐμπεπλασμένων τοῖς σκιρρώδεσι μορίοις χυμῶν γλισχρότητα διαρρύψαι καὶ τὸ πάχος τεμεῖν καὶ διαφορῆσαι τοὺς οὕτω λεπτυνθέντας. ἀλλ᾽ ἐν τῷ πέμπτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, ἔνθα περὶ τῶν τοιούτων διαθέσεων ὁ λόγος ἐγίνετό μοι, τὴν μίξιν τῶν μαλακτικῶν ὀνομαζομένων φαρμάκων ἐπῄνουν, ὡς προπαρασκευάζουσαν τὰ σκιρρούμενα σώματα τοῖς εἰρημένοις φαρμάκοις ἐπιτήδεια, χωρὶς δὲ τοῦ προμαλαχθῆναι διαχεόμενά πως ταῦτα τὸ μὲν παραχρῆμα σαφῆ τὴν μείωσιν ἔχει, εἰς ἀθεράπευτον δὲ τελευτᾷ λείψανον ὑπερξηρανθέντα. τὰ δὲ αὐτὰ ταῦτα κἀν τῷ ιδ′. τῆς θεραπευτικῆς μεθόδου λέλεκται. καὶ κατὰ τὸ ἦπαρ οὖν δεῖ ἐστοχάσθαι τῆς μίξεως τῶν μαλαττόντων. τῷ δ᾽ οἷον ὑγροπαγὲς εἶναι τὸ τοῦ ἥπατος σῶμα πάνυ μετρίων δεῖται τῶν μαλαττόντων. ἐπικρατεῖ δ᾽ ἐν αὐτῷ παρὰ τὰ ἄλλα μόρια τὰ σκιρρούμενα τῶν θερμαινόντων τε καὶ λεπτυνόντων ἡ μίξις. εἰκότως οὖν ἐπαινεῖ
13.217 μάλιστα τῶν γεγραμμένων φαρμάκων τεσσάρων ὁ Ἀσκληπιάδης τὸ ἔσχατον, ὡς πεῖραν ἱκανὴν παρεσχηκώς. ἐξ ἀρωμάτων τε γὰρ σύγκειται, λεπτύνειν καὶ διαφορεῖν δυναμένων, ἕτερά τε προσείληφε φάρμακα δριμέα τε καὶ τμητικὰ καὶ διαφορητικά, πραϋντικὰ δὲ αὐτοῖς μέμικται, τό τε τοῦ σικύου σπέρμα καὶ ἀρκευθίδος, εἶτα μέλι καὶ τὸ ἠρύγγιον, ὥσπερ γε καὶ οὐρητικά τινα παρείη τούτοις, ἀπορρυπτομένης τῆς τοῦ σπλάγχνου διαθέσεως, ἐπὶ τὰ οὖρα τὴν ποδήγησιν ποιεῖσθαι.

Τὰ ὑπ᾽ Ἀρχιγένους γεγραμμένα πρὸς ὑπατικοὺς ἐν τῷ δευτέρῳ τῶν κατὰ γένος φαρμάκων. Ἐπὶ δὲ τῶν ἡπατικῶν προηγουμένης τῆς ἁρμοζούσης ἀγωγῆς ἔν τε τροφαῖς καὶ ἀλείμμασι καὶ τοῖς κοινοῖς καταπλάσμασι, φλεβοτομίᾳ, σικύαις, σιναπισμοῖς, δρώπαξι καὶ τοῖς ὁμοίοις διαιτήμασι πρὸς τοῖς ἀναγραφησομένοις συνθέτοις ποτήμασί τε καὶ μαλάγμασι, τοῖς γε ἄριστα συμφωνοῦσι χρῶ ποτήμασι μὲν τοῖσδε· ἠριγέροντος ἀφέψημα, ὡς μάλιστα ὠφέλιμον δίδου, φύεται δὲ τούτου ὁ καυλὸς ἐπὶ τοῖς
13.218 κεράμοις. ἢ νάρδου μύρου κοχλιάρια δ′. πίνειν δίδου καθ᾽ ἡμέραν, καὶ μάλιστα ἐπὶ τῶν σκιρρουμένων. ἢ ἀριστολοχίας ὀβολοὺς γ′. πότιζε πυρέσσοντας μεθ᾽ ὕδατος, ἀπυρέτους μετ᾽ οἴνου, λίαν καλῶς ποιεῖ. ἢ τρίφυλλον τὴν ὀξύζουσαν ἐν ὕδατι ἕψε, μέχρι τὸ τρίτον λειφθῇ καὶ δίδου

ἡμέρας γ′. ἀνὰ κύαθον α′. ἢ χολὰς ἀρκείας πραέως ἐν ἀγγείῳ ζέσας ξήρανον ἐν ἡλίῳ καὶ δίδου ἐκ τούτου τοῖς ἡπατικοῖς κοχλιάριον ἕν. ἢ βάτου τῆς ῥίζης φλοιοῦ μνᾶν μίαν, σὺν ὕδατι χοΐ ἑνὶ ἑψήσας ἐν καινῷ ἀγγείῳ μέχρι λειφθῇ τὸ δ′. αἰθριασθέντι πρόσμιξον μέλιτος τῷ χυλῷ κυάθους στ′. καὶ πινέτω νῆστις ἐφ᾽ ἡμέρας γ′. ἢ ψευδοβουνίου ὀβολὸν ἕνα δίδου μετὰ μέλιτος νήστει. ἢ δαύκου καὶ μαράθρου ῥίζης τὸ ἥμισυ σὺν ὀξυμέλιτι μέχρι τὸ τρίτον λειφθῇ, ἑψήσας δίδου νήστει κύαθον α′. ἢ γλυκυρρίζης χυλοῦ ὀβολὸν α′. ἢ β′. δίδου νήστει, καὶ γὰρ κοιλίαν ὑπάγει καὶ οὖρα κινεῖ. ἐπὶ δὲ μεγάλης σκληρίας ἀβροτόνου χυλὸν ὡς ὅτι παχύτατον πότιζε. ἢ ἀκόρου ὀβολὸν α′. πάνακος ἴσον μεθ᾽ ὕδατος πότιζε. ἢ ναρδοστάχυος ἀφέψημα διηνεκῶς δίδου.

13.219 Περὶ καταπλασμάτων. Κατάπλασμα δὲ ἡπατικὸν, μήλοις κυδωνίοις μετὰ ἀλεύρου κριθίνου καὶ τήλεως ἐψημένοις, ἢ λινοσπέρματι λείῳ μετὰ ἀλφίτων ἐν οἴνῳ ἐψημένων, ἢ λινοσπέρματι ἐψημένῳ ἐν γλυκεῖ οἴνῳ, ἢ λινοσπέρματι λείῳ μετὰ μέλιτος πεφυραμένῳ, ἢ καππάρεως ῥίζης ἐν ὀξυμέλιτι ἐψημένης, ἢ κριθίνῳ ἀλεύρῳ μετὰ συκῆς, ἢ ἐλαίας ῥίζης ἐν οἴνῳ ἐψημένης, ἢ μυρεψικῆς βαλάνου κεκομμένης μετ᾽ οἴνου, ἢ τὴν διὰ φοινικοβαλάνων κηρωτήν. ἄκρως γὰρ ποιεῖ πρὸς φλεγμονὰς ἥπατος, μάλιστα δὲ ἐφ᾽ ὧν καὶ στόμαχος πέπονθε καὶ πλευραὶ διατεταμέναι εἰσίν. ἢ φοίνικα δίχα τῆς ἐντεριώνης κόψας ἐπιμελῶς, ἴσῃ κηρωτῇ ῥοδίνῃ ἐν ὅλμῳ γνησίως ἕνωσον, μικρὸν παραστάζων ῥόδινον καὶ ἐπιτίθει. ἢ Ἀμιναίῳ οἴνῳ ἐμβρέξας, σμύρναν μίξον τοῖς φοίνιξιν καὶ εἰς ῥάκος ἐμπλάσας ἐπιτίθει.

Περὶ μαλαγμάτων φλεγμονῆς ἥπατος. Οἷς ἄν τις χρήσαιτο μαλάγμασιν, ἐπὶ φλεγμονῇ ἥπατος ἄνευ φανερᾶς αἰτίας μετὰ τὰς ἐπιβροχὰς καὶ καταπλάσματα, γέγραπται ἤδη πρόσθεν ἐν τῷ περὶ τῆς τοῦ στόματος τῆς
13.220 κοιλίας φλεγμονῆς λόγῳ, τὰ κοινὰ ἐκείνου καὶ ἥπατος, ἐν οἷς ἐστι καὶ τὰ διὰ μελιλώτου σκευαζόμενα καὶ τὸ Πολυάρχιον, ἀλλὰ καὶ νῦν τινα προστεθήσεται ἐκ τῶν Ἀνδρομάχου.

Ἀνδρομάχου μάλαγμα πρὸς ἡπατικούς. ℈ Ἀμμωνιακοῦ θυμιάματος ⸉ ρμδ′. οἱ δὲ ⸉ ρ′. βδελλίου ⸉ κδ′. οἱ δὲ ⸉ ρ′. ὄξους κοτύλης δ′. κυπρίνου κοτύλην α′. ἐγὼ δὲ κο ′′.

Τὸ Ἀπολλοφάνους. ϗ Κηροῦ ⋖ π΄. βδελλίου ⋖ π΄. ἀμμωνιακοῦ θυμιάματος ⋖ π΄. ῥητίνης τερμινθίνης ⋖ μ΄. μάννης λιβάνου ⋖ μ΄. ἰρίνῳ σύγκοπτε.

Τὰ ὑπὸ Δαμοκράτους μαλάγματα γεγραμμένα πρὸς ἧπαρ καὶ ὑποχόνδριον. τινὰ δὲ αὐτῶν καὶ πρὸς ὅλην τὴν γαστέρα καὶ τὸν σπλῆνα.
Ὑποχονδρίοις δὲ τοῖς πεπονθόσιν θέλων,
Διὰ στομάχου κάκωσιν ἢ τῆς κοιλίας,
Τῶν ἐντέρων τε καὶ κώλου τοῦ θ᾽ ἥπατος,
Ἄλλου θ᾽ ὁμοίως κυρίου σπλάγχνου τινὸς,
Μάλαγμ᾽ ἐπιρίπτειν τοῦτο πρῶτον σκευάσας
13.221 Ἔμπροσθεν αὐτό. προσφάτως γὰρ γενόμενον
Ἔλαττον ἔσται τοῖς νοσοῦσι χρήσιμον.
Ἔστι δὲ κηροῦ Ποντικοῦ λίτραι δύο,
Ἀμμωνιακοῦ θυμιάματος λίτρα μία,
Τερμινθίνης τε τῆς πεφρυγμένης λίτρα,
Καὶ τῆς πιτυΐνης τῆς κεκαυμένης λίτρα.
Λίτρας δὲ τὸ τρίτον καρδαμώμου σπέρματος,
Ξηρᾶς κυπέρου ταὐτὸν, σμύρνης τὸ ἴσον,
Ἴσον τε ἑνὶ τούτων ἴρεως λευκῆς σταθμῷ,
Κεκαθαρμένης Κελτικῆς οὐγγίαι δύο.
Κρόκου δὲ γο α .
Ἓξ δὲ μελιλώτου πρὸς αὖ γε ταῖς δύο.
Τὸ δ᾽ Ἀττικὸν μελίλωτον αἱρετώτερον,
Κυπρίνου δ᾽ ἐλαίου προσφάτου λίτραι δύο.
Κυπρίνου μὲν οὖν καὶ τἄλλα τηκτὰ μίγματα,
Ἕψον φλογὶ τῇ κούφῃ, εἶθ᾽ οὕτω ξύσον.
Τὰ δ᾽ λοιπὰ κόψας σῆσον, εἶτ᾽ οἴνῳ καλῷ
Φύρασον, εἶτα νύκτα καὶ ἡμέραν μίαν
13.222 Ἄφες τὸν οἶνον ἀναπιεῖν τὰ μίγματα.
Χεῖρας δ᾽ ἀλείψας τῷ κυπρίνῳ. τὰ φάρμακα
Ἅπαντα μίξας ἐν θυείᾳ πλατυτέρᾳ,
Οὕτως ἀποτίθου, δέρμασι μαλακοῖς σκέπε.
Ἄλλο μάλαγμα τοῦ αὐτοῦ.
Πρὸς ταῦτα ποιοῦν ἕτερον. ἂν χρόνον λάβῃ

Τὰ πάθη φόβους ἔχοντα τοὺς καχεξίας.
Τοῦτ᾽ ὠφελεῖται μᾶλλον, ὅσα μὴ πνεύμασιν
Τὰ σπλάγχνα βλάπτει φλεγμοναῖς μακροτέραις.
Πυκνῶς γὰρ ὀξύνοντα μετὰ πόνων σφοδρῶν,
Σκληρῶν τε καὶ σκίρρων γε δυσλύτους φόβους.
Λύει δὲ αὐτῶν τὰς κατασκευὰς ταχὺ,
Σκεύαζε δ᾽ οὕτω. τῆς καλῆς τερμινθίνης
Λίτρας ἥμισυ, Ποντικοῦ κηροῦ τὸ ἴσον,
Κεκαθαρμένης δὲ τήλεως λίτραν μίαν.
Νίτρου τε αὐτὸ καὶ πάνακος λίτραν μίαν,
Πάλιν ἀνίσου σπέρματος λίτραν μίαν,
Μόσχου τε λίπους κεκαθαρμένου λίτραν,
13.223 Καὶ ταὐτὸ λευκῆς ἴρεως κεκομμένης.
Ὄξους δὲ κυάθους δύο ἥμισυ βραχύ.
Μέλιτος δὲ λίτρας δύο Ἀττικοῦ τοῦ προσφάτου,
Ἀμμωνιακοῦ θυμιάματος λίτραν μίαν
Τινὲς κατέμιξαν, ἄλλοι δὲ λίτρας δύο.
Τὰ ξηρὰ σήσας πάντα λεπτῷ κοσκίνῳ,
Ἕψησον ὡς κατάπλασμα προσβαλὼν μέλι,
Ὄξος τε μὴ πᾶν καὶ ποιήσας εὐαφὲς
Πρόσβαλε τῷ θερμῷ, παραχέων ὄξος βραχὺ,
Τετηγμένῳ κηρῷ τε καὶ λιπάσματι,
Τερμινθίνῃ τε καὶ καλῶς ἐψημένα,
Ταῖς χερσί τε ἅμα πάνθ᾽ ἑνώσας ἐπιμελῶς,
Ἐν μείζονι ἀγγείῳ χρήσαι μὴ παραυτίκα.
Ἀδρανέστερον γάρ ἐστιν, ἄρτι γενόμενον.
Ἄλλο Δαμοκράτους μάλαγμα.
Καὶ τοῦτο εὐῶδές τε καὶ τὰς ἥπατος
Αἶρον διαθέσεις τὰς νεφρῶν τε καὶ κώλου,
Τὰς τοῦ στομάχου τε χρονίας τῆς θ᾽ ὑστέρας.
13.224 Ἐπίβαλλε δ᾽ αὐτὸ καὶ καχέκταις διὰ νόσους
Μακρᾶς γεγονόσιν ὠχροτέροις, ὑδερώδεσιν,
Καὶ τὸ βραχὺ μὴ πέττουσιν, ἀνορεκτοῦσί τε.

Ἔστιν δ’ ἀμώμου Σκυθικοῦ, ξυλοβαλσάμου,
Βδέλλης διαυγοῦς, καρδαμώμου σπέρματος,
Ξηρᾶς κυπέρου καὶ λιβάνου, πάντων ἴσα.
Τούτων ἀνὰ λίτραν καὶ κασσίας δαφνίτιδος,
Σμύρνης τε χρηστῆς καὶ κρόκου. τούτων πάλιν
Λίτρας ἑκάστου τὸ τρίτον ἢ μικρῷ πλέον.
Στάχυος δὲ νάρδου Συριακῆς δύ’ οὐγγίας,
Τερμινθίνης τε τῆς καθαρᾶς λίτρας δύο,
Κηροῦ τε λευκοῦ τοῦ καθαροῦ λίτραν μίαν,
Κυπρίνου τε μύρου προσφάτου λίτραν μίαν,
Οἴνου Φαλερίνου τοῦ καλοῦ ξέστην ἕνα.
Τὰ μὲν ἄλλα κόψας σῆθε λεπτῷ κοσκίνῳ,
Λίβανον δὲ καὶ βδέλλιον εἰς ὅλμον βαλὼν,
Σμύρναν τε χρηστὴν καὶ κρόκον λελεασμένον
Θραύων παράχεε κύπρινον δι’ οἴνου βραχὺ,
13.225 Εἶτα ὁλμοκόπει, ὡς μέλιτος ἔχειν πάχος,
Προσεμβαλών τε τἄλλα λεῖ’ ἀρώματα,
Οἴνου τε τὸ λοιπὸν παραχέας, ἕνου καλῶς,
Ἄφες τε συμπιεῖν ἡμέραν καὶ νύχθ’ ὅλην,
Τερμινθίνην τε καὶ κύπρινον κηρόν θ’ ἅμα
Τήξας ἐπὶ πυρὸς κουφοτάτου, ἔασον.
Καὶ πάντα μίξας χερσὶ τῶν μύρων τινὶ
Λελιπασμέναις, ἔασον οὕτως, ἀποτίθου.
Μετὰ χρόνον αὐτῷ μὴ παραχρῆμα χρώμενος.
Τὰ πολλὰ μιγνὺς ξυσθὲν ἐκ μέρους τινὸς,
Κηρωτάριον γιγνόμενον εὐαφέστερον.
Σπανίως δὲ χρήσαι καὶ μόνῳ τῷ φαρμάκῳ.
Ἄλλο Δαμοκράτους μάλαγμα.

Πρὸς τὰς διαθέσεις τὰς ἄγαν κεχρονισμένας.
Ἕτερον μάλαγμα πρὸς ἃ προεῖπον, εὔτονον,
Τοῖς σπληνικοῖς, πάντων δὲ μᾶλλον ἁρμόσει,
Κᾄν ὦσιν ὠχροὶ καὶ πυρέσσωσιν σφοδρῶς,
Ὕδωρ τ᾽ ἔχωσιν ἐν ὑποχονδρίῳ βραχύ.
13.226 Πολὺ γὰρ θεραπεύειν ἀδύνατον μαλάγμασι.
Σύκων λιπαρῶν, ξηρῶν μὲν, ἔτι δὲ προσφάτων,
Τὸ σπέρμ᾽ ἀπάρας τὸ πολὺ καὶ τὸν ὀμφαλὸν,
Στῆσον δραχμὰς γ′. πέντε καὶ ἑτέρας δέκα,
Κηροῦ τε λευκοῦ Ποντικοῦ. ταύταις ἴσως
Μυροβαλάνου τε τῆς λιπαρᾶς λίτραν,
Νίτρου θαλασσίου δὲ λίτρας .
Στυπτηρίας τε σχιστῆς δραχμὰς δώδεκα,
Μιᾶς τε δραχμῆς ἥμισυ τριώβολον,
Βδέλλης, ὄνυχός τε τὰς ἴσας, στυπτηρίας,
Ἶσον τε νίτρου τ᾽ ἄνθος Ἀσίου λίθου,
Ἀμμωνιακοῦ τε ταὐτὸ θυμιάματος.
Καὶ τήλεως δὲ σπέρματος καὶ καρδάμου
Καὶ καρδαμώμου καὶ καλῆς ὀριγάνου
Ξέστου τέταρτον ἐξ ἑκάστου μίγματος,
Ἐρεγμοῦ τε τὸ μέτριον, ἰρίνου μύρου.
Τὸ μάλαγμα δὲ σκεύαζε τοῦτον τὸν τρόπον,
13.227 Βδέλλιον οἴνῳ διάβροχον ποιῶν γλυκεῖ,
Μάλασσ᾽ ἐν ὅλμῳ γενομένῳ λείῳ δ᾽ ἄγαν,
Πρόσβαλλε σῦκα καὶ πάλιν κόπτε ἅμα,
Οἶνον παραχέων, λεῖα ποίησον καλῶς.
Προσεμπάσας δὲ ἄλλα πάντα μίγματα,
Ἐν ὕδατι θερμῷ κηρὸν ἐμβρέξας καλῶς,
Μάλασσε χερσὶ καὶ πλατύνας πρόσβαλε
Τοῖς ὁλμοκοπουμένοις, ὑπέρῳ τε χρώμενος
Ξυλίνῳ, λιπαίνων ταῦτα συνεχῶς τῷ μύρῳ.
Καιρὸς δὲ πάντων χρήσεως μαλαγμάτων,
Ὅσα κοιλίᾳ, στομάχῳ, κᾄν καὶ τοῖς ἐντέροις

᾽Επιβάλλεται, κάλλιστος ὁ μέχρι τῆς τροφῆς
῞Ης ἔλαβον ἐν τῇ γαστρὶ μὴ παρακειμένης.
